νὺξ οὐκ ἀπὸ τοῦ σώματος, ἀλλ' ἀπὸ τοῦ καιροῦ, δηλοῖ δὲ τὰ προπύλαια νυμφίους μάλα ὀλβίους ἐν εὐνῇ κεῖσθαι. καὶ ὁ Κῶμος ἥκει νέος παρὰ νέους ἁπαλὸς καὶ οὔπω ἔφηβος, ἐρυθρὸς ὑπὸ οἴνου καὶ καθεύδων ὀρθὸς ὑπὸ τοῦ μεθύειν. καθεύδει δὲ τὸ μὲν πρόσωπον ἐπὶ στέρνα ῥίψας καὶ τῆς δειρῆς ἐκφαίνων οὐδέν, τὴν δὲ ἀριστερὰν προβολίῳ ἐπέχων, εἰλῆφθαι δὲ ἡ χεὶρ δοκοῦσα λύεται καὶ ἀμελεῖ, τὸ εἰωθὸς ἐν ἀρχῇ τοῦ καθεύδειν, ὅταν σαίνοντος ἡμᾶς τοῦ ὕπνου μετέρχηται ὁ λογισμὸς ἐς λήθην ὧν συνέχει, ὅθεν καὶ τὸ ἐν τῇ δεξιᾷ λαμπάδιον ἔοικε διαφεύγειν τὴν χεῖρα, καταρραθυμοῦντος αὐτὴν τοῦ ὕπνου. δεδιὼς δὲ ὁ Κῶμος προσβάλλον τὸ πῦρ τῷ σκέλει περιφέρει τὴν μὲν κνήμην τὴν ἀριστερὰν ἐπὶ τὰ δεξιά, τὸ δὲ λαμπάδιον ἐπὶ τὰ ἀριστερά, ἵν' ἐκκλίνοι τὸν ἀτμὸν τοῦ πυρὸς ἐκκειμένῳ τῷ γόνατι ἀφιστὰς τὴν χεῖρα. πρόσωπα δὲ ὀφείλεται μὲν παρὰ τῶν ζωγράφων τοῖς ἐν ὥρᾳ καὶ τυφλώττουσί γε ἄνευ τούτων αἱ γραφαί, τῷ δὲ Κώμῳ σμικρὰ δεῖ τοῦ προσώπου νενευκότι καὶ ἕλκοντι τὴν ἀπὸ τῆς κεφαλῆς σκιάν. κελεύει δέ, οἶμαι, μὴ ἀπαρακαλύπτως κωμάζειν τοὺς ἐν ἡλικίᾳ τούτου. τὰ δὲ λοιπὰ τοῦ σώματος διηκρίβωται πάντα, περιλάμποντος αὐτὰ τοῦ λαμπαδίου καὶ ἐς φῶς ἄγοντος. ὁ στέφανος δὲ τῶν ῥόδων ἐπαινείσθω μέν, ἀλλὰ μὴ 7 ἀπὸ τοῦ εἴδους — ξανθοῖς γὰρ καὶ κυανοῖς, εἰ τύχοι, χρώμασιν ἀπομιμεῖσθαι τὰς τῶν ἀνθέων εἰκόνας οὐ μέγας ὁ ἆθλος — ἀλλὰ ἐπαινεῖν χρὴ τὸ χαῦνον τοῦ στεφάνου καὶ ἁπαλόν. ἐπαινῶ καὶ τὸ ἔνδροσον τῶν ῥόδων καὶ φημὶ γεγράφθαι αὐτὰ μετὰ τῆς ὀσμῆς. τί λοιπὸν τοῦ Κώμου; τί δ' ἄλλο γε ἢ οἱ κωμάζοντες; ἢ οὐ προσβάλλει σε κρόταλα καὶ θροῦς ἔναυλος καὶ βοὴ ἄτακτος; λαμπάδιά τε ὑπεκφαίνεται, παρ' ὧν ἐστι τοῖς κωμάζουσι καὶ τὰ ἐν ποσὶν ὁρᾶν καὶ ἡμῖν μὴ ὁρᾶσθαι. συνεξαίρεται δὲ καὶ πολὺς λεὼς καὶ γύναια μετ' ἀνδρῶν ἴεται καὶ ὑπόδημα καὶ ζώννυται παρὰ τὸ οἰκεῖον. συγχωρεῖ δὲ ὁ κῶμος καὶ γυναικὶ ἀνδρίζεσθαι καὶ ἀνδρὶ θῆλυν ἐνδῦναι στολὴν καὶ θῆλυ βαίνειν. καὶ οἱ στέφανοι οὐκ ἀνθηροὶ ἔτι, ἀλλ' ἀφῄρηται αὐτοῖς τὸ ἱλαρὸν ὑπὸ τοῦ ταῖς κεφαλαῖς ἐφαρμόττεσθαι, διὰ τὸ ἀτακτεῖν ἐν τῷ δρόμῳ. ἡ γὰρ τῶν ἀνθέων ἐλευθερία παραιτεῖται τὴν χεῖρα ὡς μαραίνουσαν αὐτὰ πρὸ τοῦ χρόνου. μιμεῖταί τινα ἡ γραφὴ καὶ κρότον, οὗ μάλιστα δεῖται ὁ κῶμος, καὶ ἡ δεξιὰ τοῖς δακτύλοις ὑπεσταλμένοις ὑποκειμένην τὴν ἀριστερὰν πλήττει ἐς τὸ κοῖλον, ἵν' ὦσιν αἱ χεῖρες ξύμφωνοι πληττόμεναι τρόπῳ κυμβάλων.

ΜΥΘΟΙ.

γ'. Φοιτῶσιν οἱ μῦθοι παρὰ τὸν Αἴσωπον ἀγαπῶντες αὐτόν, ὅτι αὐτῶν ἐπιμελεῖται. ἐμέλησε μὲν γὰρ καὶ Ὁμήρῳ μύθου καὶ Ἡσιόδῳ, ἔτι δὲ καὶ Ἀρχιλόχῳ πρὸς Λυκάμβην, ἀλλ' Αἰσώπῳ πάντα τὰ τῶν ἀνθρώπων ἐκμεμύθωται, καὶ λόγου τοῖς θηρίοις μεταδέδωκε λόγου ἕνεκεν· πλεονεξίαν τε 8 γὰρ ἐπικόπτει καὶ ὕβριν ἐλαύνει καὶ ἀπάτην καὶ ταῦτα λέων τις αὐτῷ ὑποκρίνεται καὶ ἀλώπηξ

1. οὐκ εὐνῇ. φ. 3. μὴ μεθύειν. φ. 4. ἐμφαίνων. 2 (br. ex suprasc.) ἐκφαίνον. λ. 5. ἀμέλει. m, o. ib. ἤθος. φ, h, ε, m. εἰοθός. γ. ib. ἡμᾶς ὕπνου. f et p ante corr. 6. συνέχεις. gu. ib. ἔοικε τοῦτο διαφ. — ὕπνου. Θ. s. v. ῥαθυμῶ. ib. ἐν δεξιᾷ. l. 7. αὐτὸν. j. ib. περιφέρει. vd. παραφέρει. ς. 8. τῇ δεξιᾷ. vd. ib. ἐπὶ τῇ ἀριστερᾷ. f, et vd. ante corr. ἐν ἀριστερᾷ. p, φ. ib. ἐκκλίνοι. f, φ. ἐκλίνῃ. l. ἐκκλίνῃ. ς. 9. ἐκκειμένου. f. 10. σμικρὰ δὴ. p ante corr. 11. σκυλεύει δὲ. φ. κελεύειν οἶμαι. γ. ib. ἀπαρακαλύπτως. f, vd. ἀπαρικαλύπτους. p, φ. ἀπερικαλύπτους. ς. 14. τύχῃ. vd. ib. καὶ τὰς. br. ib. τῶν om. λ. 15. ἀλλὰ. f, φ, ρ, β. 16. μὴ γεγράφθαι. ρ. ib. κόσμου. gu. 17. οἱ om. λ. ib. προβάλλει. h, ε, mγρ. ib. σε om. γ pr. m. ib. κρόταλον. φ. ib. ᾠδὴ ἄτακτος. f, φ. ib. λαμπάδιά τε ὑπεκφαίνεται. f, φ, p. ὑπεκφαίνοντες. br. rec. m. 18. μὴ ὁρᾶσθαι. f, p, J. ὁρᾶσθαι ς. (φ, vd.) 19. ξυναίρεταί τε δὲ. h. συνεξαίρεσθαι. i2. ib. ἴεται. j, J. ib. ὑποδήματα. λ. ὑπόδημα κοινὸν ἔχουσι. μ, br, p 2706. κοινὸν ἔχουσι τὸ »παρὰ τὸ οἰκεῖον« gl. est in l, j, β, al. Fo: καὶ ὑποδεῖται καὶ ζ. ib. ζώννυται. f. ζώννυνται. γ, g. ζώννυνται. p, φ, 2, 3, EJ. 20. συνεχώρει. f. ib. ἀνδρὶ θῆλυ. f, β. ib. ἐνδύναι μ. 22. ἐφαρμόζεσθαι. br. ἐναρμόττεσθαι. vd, λ. ib. ἐν om. l. ib. ἡ — ἐλευθερία. Θ. s v. ἀνθέων. 24. καὶ ἡ — ἔπληττεν εἰς τὸν κοιλὸν — εὔφωνοι συμπληττόμεναι τρόπον κυμβάλων. Aristaenet. I, 10, p. 49. ed. B. ib. καὶ om. ante ἡ. j. ib. ἀπεσταλμένοις. φ. ib. εἰς τὸ. φ.

III. 27. μύθου in rasura vd, fortasse fuit μύθων. 28. τὰ om. γ, g. ib. μετέδωκε. φ, r, h. ib. ἕνεκεν. f, p. ἕνεκα. ς. ib. τε om. v.

7, 8. 766, 767. 1, 3.

καὶ ἵππος, νὴ Δία, καὶ οὐδὲ ἡ χελώνη ἄφωνος, ὑφ' ὧν τὰ παιδία μαθηταὶ γίγνονται τῶν τοῦ βίου πραγμάτων. εὐδοκιμοῦντες οὖν οἱ μῦθοι διὰ τὸν Αἴσωπον φοιτῶσιν ἐπὶ τὰς θύρας τοῦ σοφοῦ ταινίαις αὐτὸν ἀναδήσοντες καὶ στεφανώσοντες αὐτὸν θαλλοῦ στεφάνῳ. ὁ δέ, οἶμαί, τινα ὑφαίνει μῦθον. τὸ γὰρ μειδίαμα τοῦ Αἰσώπου καὶ οἱ ὀφθαλμοὶ κατὰ γῆς ἑστῶτες τοῦτο δηλοῦσιν· οἶδεν ὁ ζωγράφος, ὅτι αἱ τῶν μύθων φροντίδες ἀνειμένης τῆς ψυχῆς δέονται. φιλοσοφεῖ δὲ ἡ γραφὴ καὶ τὰ τῶν μύθων σώματα. θηρία γὰρ συμβάλλουσα ἀνθρώποις περιίστησι χορὸν τῷ Αἰσώπῳ ἀπὸ τῆς ἐκείνου σκηνῆς συμπλάσασα, κορυφαία δὲ τοῦ χοροῦ ἡ ἀλώπηξ γέγραπται, χρῆται γὰρ αὐτῇ ὁ Αἴσωπος διακόνῳ τῶν πλείστων ὑποθέσεων, ὥσπερ ἡ κωμῳδία τῷ Δάῳ.

ΜΕΝΟΙΚΕΥΣ.

δ'. Θηβῶν μὲν ἡ πολιορκία, τὸ γὰρ τεῖχος ἑπτάπυλον, ἡ στρατιὰ δὲ Πολυνείκης ὁ τοῦ Οἰδίποδος, οἱ γὰρ λόχοι ἑπτά. πελάζει αὐτοῖς Ἀμφιάρεως ἀθύμῳ εἶδει καὶ ξυνιέντι ἃ πείσονται, καὶ οἱ μὲν ἄλλοι λοχαγοὶ δεδίασι — ταῦτα καὶ τὰς χεῖρας ἐς τὸν οὐρανὸν αἴρουσι — Καπανεὺς
768 δὲ τὰ τείχη βλέπει περιφρονῶν τὰς ἐπάλξεις ὡς κλίμακι ἁλωτάς. οὐ μὴν βάλλεταί πω ἀπὸ τῶν ἐπάλξεων ὀκνοῦντές που οἱ Θηβαῖοι ἄρξαι μάχης. ἡδὺ τὸ σόφισμα τοῦ ζωγράφου· περιβάλλων τοῖς τείχεσιν ἄνδρας ὡπλισμένους τοὺς μὲν ἀρτίους παρέχει ὁρᾶν, τοὺς δὲ ἀσαφεῖς τὰ σκέλη, τοὺς δὲ ἡμίσεας καὶ στέρνα ἐνίων καὶ κεφαλὰς μόνας καὶ κόρυθας μόνας, εἶτα αἰχμάς. ἀναλογία ταῦτα, 9
ὦ παῖ. δεῖ γὰρ κλέπτεσθαι τοὺς ὀφθαλμοὺς τοῖς ἐπιτηδείοις κύκλοις συναπιόντας. οὐδὲ αἱ Θῆβαι ἀμάντευτοι, λόγιον γάρ τι ὁ Τειρεσίας λέγει τεῖνον ἐς Μενοικέα τὸν τοῦ Κρέοντος, ὡς ἀποθανών, ἔνθα ἡ χειὰ τοῦ δράκοντος, ἐλευθέρα ἡ πόλις ἐκ τούτου εἴη· ὁ δὲ ἀποθνήσκει λαθὼν τὸν πατέρα ἐλεεινὸς μὲν τῆς ἡλικίας, εὐδαίμων δὲ τοῦ θάρσους. ὅρα γὰρ τὰ τοῦ ζωγράφου· γράφει μειράκιον οὐ λευκόν, οὐδ' ἐκ τρυφῆς, ἀλλ' εὔψυχον καὶ παλαίστρας πνέον, οἷον τὸ τῶν μελιχρόων ἄνθος, οὗς ἐπαινεῖ ὁ τοῦ Ἀρίστωνος, διαφράττει δὲ αὐτὸ στέρνοις εὐαφέσι καὶ πλευραῖς καὶ γλουτῷ συμμέτρῳ καὶ μηρῷ. ἔρρωται καὶ ὤμων ἐπαγγελία καὶ οὐκ ἀτρέπτῳ τένοντι, μετέχει δὲ καὶ κόμης, ὅσον μὴ κομᾶν. ἐφέστηκε δὲ τῇ χειᾷ τοῦ δράκοντος ἕλκον τὸ ξίφος ἐνδεδυκὸς ἤδη τῇ πλευρᾷ, καὶ δεξώμεθα, ὦ παῖ, τὸ αἷμα κόλπον αὐτῷ ὑποσχόντες, ἐκχεῖται γάρ, καὶ ἡ ψυχὴ ἤδη ἄπεισι,
769 μικρὸν δὲ ὕστερον καὶ τετριγυίας αὐτῆς ἀκούσῃ. ἔρωτα γὰρ τῶν καλῶν σωμάτων καὶ αἱ ψυχαὶ ἴσχουσιν, ὅθεν ἄκουσαι αὐτῶν ἀπαλλάττονται. ὑπεξιόντος δὲ αὐτῷ τοῦ αἵματος ὀκλάζει καὶ ἀσπάζεται τὸν θάνατον καλῷ καὶ ἡδεῖ τῷ ὄμματι καὶ οἷον ὕπνον ἕλκοντι.

1. ἵπποις. l. ib. ἀφ' ὧν. φ. ib. μυθηταὶ. φ. ib. γίγνονται. φ. γίνονται. ς. ib. τῶν. br. 3. ταναίας. l. ταινίας. γ. ib. ἀναδύσοντες. j. ib. στεφάνου. gu. 4. τοῦ Αἰσώπου. f, p. τοῦ Αἰσώπου suprasc. προ. vd. sec. m. τοῦ προσώπου. ς. ib. κατὰ γῆς. f, p, γ, g. κατὰ τῆς γῆς. φ, 2, 3, EJ. 5. φιλοσοφεῖ — ἀνθρώποις. v. 5. γὰρ om. v. 7. κορυφαία — ἀλώπηξ. v. 8. Δαναῷ. f, p, non φ, vd.

IV. 9. μὲν om. j. ib. τὸ δὲ τεῖχος. f, j. ib. ἡ δὲ στρ. λ. ib. Οἰδίπου. vd. 10. λοχᾶροι. f. ib. πελάζει αὐτοῖς. 1. (πελάζῃ. φ.) πελάζει δ' αὐτοῖς. 2, 3, EJ. ib. οἱ δὲ γὰρ. λ. ib. Ἀμφιάρεως. l. Ἀμφιάραος. ς. 11. δεδίασι ταῦτα. C, E ante J. ib. ἐς τὸν Δία. p, φ, EJ. ἐς τὸν Δία οὐρανὸν. j. ἐς τὸν οὐρανὸν et γρ. Δία. β. ib. ὁ Καπανεὺς δὲ — μάχης.

Glyc. π. συντ. 54. ed. Jahn. 12. κλίμακας. vd. ib. πω om. J. 13. ἡδὺ — ζωγράφου. v. ἡδὺ — ὡπλισμένους. Gr. Herm. 363. ib. περιβάλλων τοῖς. f, φ, et vd ante correctionem, Schol. Eur. Or. 362. (περιβάλλον f.) περιβάλλων γὰρ τοῖς. ς. (περιβάλλει γ. τ. Gr. Herm.) 14. τοὺς μὲν γὰρ — συναπιόντας. v. ib. ὁρᾶν παρέχει. vd. ib, σκέλη ἡμισέας. λ. 15. ταῦτα ἀπαιτεῖ. J conj. 17. λόγιον — Μενοικέα. Gr. Herm. 390. λόγιον — εἴη. Glyc. π. συντ. 54 ed. Jahn. ib. τεῖνος. br. ib. τὸν Κρέοντος. h, E. 18. ἐλευθέρα. m. ib. ἐκ τούτου om. Glyc. ib. τὸν om. vd. 19. θράσους. f, λ, g. 20. ὡς καὶ. j. 21. Ἀρίστονος. gu. ib. εὐβάφεσι. f, ρ, gu. ib. ἢ καὶ γλ. 1. 22. ἔρρωτι. λ. ib. εὐαγγελία. φ. εὐπαγία. o. ib. μετέχει — κομᾶν. v. ib. δὲ κόμης. v, l. 23. ἕλκων. o. ib. ξίφος ἐνδεδυκὸς. 1. ξίφος καὶ ἐνδεδυκὸς. vd. ex corr. 2, 3, EJ. (ὑποδεδυκὸς. ψ.) 24. καὶ δεξώμεθα. 1 (in p lineola deletur καὶ). δεξώμεθα. 2, 3, EJ. 25. τετριγυίας. vd, φ, λ, j, γ, g, J. τετρηγυίας. h. τετρυγυίας. f, p, E. 26. ἴσχουσι. φ. ib. τοῦ σώματος. gu. 27. ὕπνον. l. εἰς ὕπνον. λ.

9. 768, 769 1, 4.

ΠΗΧΕΙΣ.

ε΄. Περὶ τὸν Νεῖλον οἱ πήχεις ἀθύρουσι παιδία ξύμμετρα τῷ ὀνόματι, καὶ ὁ Νεῖλος αὐτοῖς ὑπεργάνυται τά τε ἄλλα καὶ ὅτι κηρύττουσιν αὐτόν, ὅσος Αἰγυπτίοις προεχύθη. προσάγεται οὖν καὶ οἷον ἔρχεται αὐτῷ ἐκ τοῦ ὕδατος βρέφη ἁπαλὰ καὶ μειδιῶντα, μετέχειν δὲ οἶμαί τι αὐτὰ καὶ τοῦ λάλου, καὶ οἱ μὲν τοῖς ὤμοις αὐτοῦ ἐφιζάνουσιν, οἱ δὲ τῶν πλοκάμων ἐκκρέμανται, οἱ δὲ τῇ ἀγκάλῃ ἐγκαθεύδουσιν, οἱ δὲ κωμάζουσιν ἐπὶ τοῦ στέρνου. ὁ δὲ ἀναδίδωσιν αὐτοῖς ἄνθη τὰ μὲν ἀπὸ τοῦ κόλπου, τὰ δὲ ἀπὸ τῆς ἀγκάλης, ὡς στεφάνους τε ἀπ' αὐτῶν διαπλέκοιεν καὶ καθεύδοιεν ἐπὶ τῶν ἀνθέων ἱεροὶ καὶ εὐώδεις, καὶ ἐπαναβαίνουσιν ἄλλο ἄλλῳ τὰ παιδία σείστροις ἅμα, ταυτὶ γὰρ ἐναυλα ἐκείνῳ τῷ ὕδατι. κροκόδειλοι μὲν οὖν καὶ οἱ ποτάμιοι τῶν ἵππων, οὓς τῷ Νείλῳ τινὲς προσγράφουσιν, ἀπόκεινται νῦν ἐν βαθείᾳ τῇ δίνῃ, μὴ δέος τοῖς παιδίοις ἐμπέσοι, γεωργίας δὲ καὶ ναυτιλίας σύμβολα δηλοῖ τὸν Νεῖλον ἐκ τοιοῦδε, ὦ παῖ, λόγου· Νεῖλος Αἴγυπτον πλωτὴν ἐργασάμενος εὐκάρπῳ τῇ γῇ χρῆσθαι δίδωσιν ὑπὸ τῶν πεδίων ἐκποθείς, ἐν Αἰθιοπίᾳ δέ, ὅθεν ἄρχεται, ταμίας αὐτῷ δαίμων ἐφέστηκεν, ὑφ' οὗ πέμπεται ταῖς ὥραις σύμμετρος. γέγραπται δὲ οὐρανομήκης ἐπινοῆσαι καὶ τὸν πόδα ἔχει πρὸς ταῖς πηγαῖς, οἷον, ὦ Πόσειδον, προσνεύων. ἐς τοῦτον ὁ ποταμὸς βλέπει καὶ αἰτεῖ τὰ βρέφη αὐτῷ πολλὰ εἶναι.

ΕΡΩΤΕΣ.

ς΄. Μῆλα ἔρωτες ἰδοὺ τρυγῶσιν, εἰ δὲ πλῆθος αὐτῶν, μὴ θαυμάσῃς, νυμφῶν γὰρ δὴ παῖδες οὗτοι γίγνονται, τὸ θνητὸν ἅπαν κυβερνῶντες, πολλοὶ διὰ πολλά, ὧν ἐρῶσιν ἄνθρωποι, τὸν δὲ οὐράνιόν φασιν ἐν τῷ οὐρανῷ πράττειν τὰ θεῖα. μῶν ἐπήσθου τι τῆς ἀνὰ τὸν κῆπον εὐωδίας ἢ βραδύνει σοι τοῦτο; ἀλλὰ προθύμως ἄκουε, προσβαλεῖ γάρ σε μετὰ τοῦ λόγου καὶ τὰ μῆλα. ὄρχοι μὲν οὗτοι φυτῶν ὀρθοὶ πορεύονται, τοῦ μέσου δὲ αὐτῶν ἐλευθερία βαδίζειν. πόα δὲ ἁπαλὴ κατέχει τοὺς δρόμους οἷα καὶ κατακλιθέντι στρωμνὴ εἶναι. ἀπ' ἄκρων δὲ τῶν ὄζων μῆλα χρυσᾶ καὶ πυρσὰ καὶ ἡλιώδη προσάγονται τὸν ἑσμὸν ὅλον τῶν ἐρώτων γεωργεῖν αὐτά. φαρέτραι μὲν οὖν χρυσόπαστοι καὶ χρυσαῖ καὶ τὰ ἐν αὐταῖς βέλη, γυμνὴ τούτων ἡ ἀγέλη πᾶσα καὶ κοῦφοι διαπέτονται περιαρτήσαντες αὐτὰ ταῖς μηλέαις, αἱ δὲ ἐφεστρίδες αἱ ποικίλαι κεῖνται μὲν ἐν τῇ πόᾳ, μυρία δὲ αὐτῶν τὰ ἄνθη, οὐδὲ ἐστεφάνωνται τὰς κεφαλὰς ὡς ἀποχρώσης αὐτοῖς τῆς κόμης. πτερὰ δὲ κυάνεα καὶ φοινικᾶ καὶ χρυσᾶ ἐνίοις μονονοὺ καὶ αὐτὸν πλήττει τὸν ἀέρα ξὺν ἁρμονίᾳ μουσικῇ. φεῦ τῶν ταλάρων, ἐς οὓς ἀποτίθενται τὰ μῆλα, ὡς πολλὴ μὲν περὶ αὐτοὺς ἡ σαρδώ, πολλὴ δὲ ἡ σμάραγδος, ἀληθινὴ δὲ ἡ μάρ-

v. *Πήχεις.* p, ρ, p 1760, 1761. matr. ib. *Νεῖλος.* ς. 1. πηχεῖς. l. ib. ξυμμέτροι et α suprascr. p. 2. ὑπεργάνυται. gu, J. ὑπεργάννυται. ς. ib. κυρήττ. h. κερύττ. o. ib. προσάγει et προσάγεται. mg. br. προάγεται. λ. ib. γοῦν. 1, J. οὖν. ς. 3. καὶ om. λ. αὐτοῖς. φ. αὐτῷ. μ, EJ. αὐτῷ et mg. αὐτοῖς. br. αὐτοῖς. ς. ib. ἄρχεται sive ἕλκεται. conj. J. ib. μετέχει. l. ib. οἶμαί τι. 1, J. οἶμαι. 2, 3, E. ib. ἐκ τοῦ λάλου. ρ. 4. τὸ πλοκάμω ἐκρέμανται. λ. 5. ἐγκαθεύδουσιν. conj. J. καθεύδουσιν. ς. ib. τοῦ om. γ. 6. ἀπὸ τῶν ἀνθ. φ. ib. ἄλλος ἄλλῳ. p, J. ἄλλω ἄλλῳ. λ. 8. οὖν om. ρ. ib. οἱ ποταμοί. φ, λ. ib. τῶν ἵππων om. r. 9. ἀπόκεινται. br. ib. ἐμπέσοι. 1, j et g, ubi suprasc. η. ἐμπέσῃ. ς. 10. σύμβολα. 1, J. σύμβολον. ς. ib. τοῦ τοιοῦδε. h. 11. εὐκαρπία. vd. 12. ἄρχεται. 1, γ, g, gu, λ, J. ἔρχεται. 2. (γρ. ἄρχεται in p 1761.) r, h, E. ib. ἐφίσταται. ρ. ib. γέγραπται — ἐπινοῆσαι. v. ib. γέγραπται γὰρ. h. 13. παῖδα. p, γ et φ, ubi o suprascr. ib. πρὸς om. 1 et γ. Fo: ἐπέχει ταῖς π. ib. ἐς τοῦτον. C, J. πρὸς τοῦτον. h, E. 14. αὐτὰ τὰ βρ. λ.

VI. 15. *μῆλα ἔρωτες ἰδοὺ τρυγῶσιν* laudat Eustath. ad Od. 1572, 48. ib. γὰρ δὲ. p 1761. 16. γένονται. j. ib. διακυβερνῶντες. f, p, J. ib. διὰ πολλῶν. λ. 18. προσβάλλει. λ. ib. σοι. ψ. ib. ὄρκοι. l. πτόρθοι et mg. ὀρχοί. br. p. 1761. πτόρθοι et ἴσως ὄρχοι in mg. h. ὀρθοὶ. μ, ρ. πτόρθοι. ε, m, et vd. in mg. 19. δὲ αὐτῶν. C. δ' αὐτῶν. E. 20. οἷα. p 1761. ib. στρωμνήν. f, ρ, ε, m. ib. καὶ πυρσὰ om. λ. πυρσᾶ. vd. 21. ὅλων. m, o. ib. γεωργῆν. j. ib. φαρέτραι — πᾶσα. Schol. Eur. Or. 971. ib. ουν om. λ. 22. χρυσᾶ. o. ib. καὶ ἐν αὐταῖς. φ. 24. αὐτῆς τῆς κόμης. λ. 25. μονονοὺ. 1, l, j, μ, br, ρ, β, λ. μονονουχὶ. γ, g, J. ib. κατ' αὐτὸν. φ. ib. μουσικῆς. vd. ante corr. ib. φεῦ — μάργηλις. v. 26. ἀποτίθεται. l, β, ρ, o. ib. ἀληθινὴ δὲ. φ. ἀληθὴς δὲ. ς.

10, 11. 770. 1, 5, 6.

771 γηλις, ἡ συνθήκη δὲ αὐτῶν Ἡφαίστου νοείσθω. οὐδὲ κλιμάκων δέονται πρὸς τὰ δένδρα παρ' αὐτοῦ, ὑψοῦ γὰρ καὶ ἐς αὐτὰ πέτονται τὰ μῆλα. καὶ ἵνα μὴ τοὺς χορεύοντας λέγωμεν ἢ τοὺς διαθέοντας ἢ τοὺς καθεύδοντας ἢ ὡς γάννυνται τῶν μήλων ἐμφαγόντες, ἴδωμεν, ὅ τι ποτὲ νοοῦσιν οὗτοι. οἱ γὰρ κάλλιστοι τῶν ἐρώτων ἰδοὺ τέτταρες ὑπεξελθόντες τῶν ἄλλων δύο μὲν αὐτῶν ἀντιπέμπουσι μῆλον ἀλλήλοις, ἡ δὲ ἑτέρα δυὰς ὁ μὲν τοξεύει τὸν ἕτερον, ὁ δὲ ἀντιτοξεύει καὶ οὐδὲ ἀπειλὴ τοῖς προσώποις ἔπεστιν, ἀλλὰ καὶ στέρνα παρέχουσιν ἀλλήλοις, ἵν' ἐκεῖ που τὰ βέλη πελάσῃ. καλὸν τὸ αἴνιγμα· σκόπει γάρ, εἴ τι ξυνίημι τοῦ ζωγράφου· φιλία ταῦτα, ὦ παῖ, καὶ ἀλλήλων ἵμερος, οἱ μὲν γὰρ διὰ τοῦ μήλου παίζοντες πόθου ἄρχονται, ὅθεν ὁ μὲν ἀφίησι φιλήσας τὸ μῆλον, ὁ δὲ 12
ὑπτίαις αὐτὸ ὑποδέχεται ταῖς χερσὶ δῆλον ὡς ἀντιφιλήσων, εἰ λάβοι, καὶ ἀντιπέμψων αὐτό, τὸ δὲ τῶν τοξοτῶν ζεῦγος ἐμπεδοῦσιν ἔρωτα ἤδη φθάνοντα, καὶ φημὶ τοὺς μὲν παίζειν ἐπὶ τῷ ἄρξασθαι τοῦ ἐρᾶν, τοὺς δὲ τοξεύειν ἐπὶ τῷ μὴ λῆξαι τοῦ πόθου. ἐκεῖνοι μὲν οὖν, περὶ οὓς οἱ πολλοὶ θεαταί, θυμῷ συμπεπτώκασι καὶ ἔχει τις αὐτοὺς πάλη. λέξω καὶ τὴν πάλην, καὶ γὰρ τοῦτο ἐκλιπαρεῖς· ὁ μὲν ἤρηκε τὸν ἀντίπαλον περιπτὰς αὐτῷ κατὰ τῶν νώτων καὶ ἐς πνῖγμα ἀπολαμβάνει καὶ καταδεῖ τοῖς σκέλεσιν, ὁ δὲ οὔτε ἀπαγορεύει καὶ ὀρθὸς ὑπανίσταται καὶ διαλύει τὴν χεῖρα, ὑφ' ἧς ἄγχεται, στρεβλώσας ἕνα τῶν δακτύλων, μεθ' ὃν οὐκέτι οἱ λοιποὶ ἔχουσιν, οὐδέ εἰσιν ἐν
772 τῷ ἀπρίξ, ἀλγεῖ δὲ ὁ στρεβλούμενος καὶ κατεσθίει τοῦ παλαιστοῦ τὸ οὖς. ὅθεν δυσχεραίνουσιν οἱ θεώμενοι τῶν ἐρώτων ὡς ἀδικοῦντι καὶ ἐκπαλαίοντι, καὶ μήλοις αὐτὸν καταλιθοῦσι. μηδὲ ὁ λαγὼς ἡμᾶς ἐκεινοσὶ διαφευγέτω, συνθηράσωμεν δὲ αὐτὸν τοῖς ἔρωσι. τοῦτο τὸ θηρίον ὑποκαθήμενον ταῖς μηλέαις καὶ σιτούμενον τὰ πίπτοντα ἐς γῆν μῆλα, πολλὰ δὲ καὶ ἡμίβρωτα καταλεῖπον διαθηρῶσιν οὗτοι καὶ ταράττουσιν ὁ μὲν κρότῳ χειρῶν, ὁ δὲ κεκραγώς, ὁ δὲ ἀνασείων τὴν χλαμύδα, καὶ οἱ μὲν ὑπερπέτονται τοῦ θηρίου καταβοῶντες, οἱ δὲ μεθέπουσιν αὐτὸ πεζοὶ κατὰ ἴχνος, ὁ δ' ὡς ἐπιρρίψων ἑαυτὸν ὥρμησε καὶ τὸ θηρίον ἄλλην ἐτράπετο, ὁ δὲ ἐπιβουλεύει τῷ σκέλει τοῦ λαγώ, τὸν δὲ καὶ διωλίσθησεν ἠρηκότα· γελῶσιν οὖν καὶ καταπεπτώκασιν ὁ μὲν ἐς πλευράν, ὁ δὲ πρηνής, οἱ δὲ ὕπτιοι, πάντες δὲ ἐν τοῖς τῆς διαμαρτίας σχήμασι. τοξεύει δὲ οὐδείς, ἀλλὰ πειρῶνται αὐτὸν ἑλεῖν ζῶντα ἱερεῖον τῇ Ἀφροδίτῃ ἥδιστον. οἶσθα γάρ που τὸ περὶ τοῦ λαγὼ λεγόμενον, ὡς 13
πολὺ τῆς Ἀφροδίτης μέτεστιν αὐτῷ· λέγεται γοῦν περὶ μὲν τοῦ θήλεος θηλάζειν τε αὐτό, ἃ ἔτεκε, καὶ ἀποτίκτειν πάλιν ἐπὶ ταὐτῷ γάλακτι καὶ ἐπικυίσκειν δὲ καὶ οὐδὲ εἰς χρόνος αὐτῷ τοῦ τόκου κενός, τὸ δὲ ἄρρεν σπείρει τε, ὡς φύσις ἀρρένων, καὶ ἐπικυίσκει παρ' ὃ πέφυκεν. οἱ δὲ ἄτοποι τῶν ἐραστῶν καὶ πειθώ τινα ἐρωτικὴν ἐν αὐτῷ κατέγνωσαν βιαίῳ τέχνῃ τὰ παιδικὰ θηρώμενοι. ταῦτα μὲν οὖν καταλείπωμεν ἀνθρώποις ἀδίκοις καὶ ἀναξίοις τοῦ ἀντεραῦσθαι, σὺ δέ μοι τὴν Ἀφροδίτην βλέπε· ποῦ δὴ καὶ κατὰ τί τῶν μήλων ἐκείνῃ; ὁρᾷς τὴν ὕπαντρον πέτραν, ἧς νᾶμα κυανώ-

1. αὐτοῦ. 2. 2. ἐς αὐτὰ C, (παρ' αὐτὰ. h.) J. ἐπ' αὐτά. E. ib. καὶ ἵνα — νοοῦσιν οὗτοι. v. ib. χορεύοντας. v. χορευτάς. ς. ib. ἢ om. β, ρ. 3. γάννυνται. μ, gu, J. γάννυνται. ς. ib. εἴδωμεν. f et p, ubi ι suprasc. ἴδομεν. λ. ib. τότε. γ. ib. νοοῦσιν οὗτοι. v. οὗτοι νοοῦσιν. ς. 4. ἰδοὺ τέτταρες. 1, γ, g, gu. ἰδοὺ δὴ τέττ. ς. (vd. ex corr.) ib. δύο. 1, 2. (br. pr. m.) οἱ δύο. vd. pr. m. br. sec. m. 3, EJ. 6. ἀλλὰ καὶ .... ἔχουσιν. φ sic cum lac. ib. ἵν' ἐκεῖ — ἀλλήλων om. r. ib. πετάσῃ. f. ib. ὅπου ξ. f. 9. ταῖς om. λ. 7. τ. χ. om. vd. ib. δῆλον om. λ. ib. τὸ δὲ τὸ τῶν. λ. 10. τόξων. γ. τοξευτῶν. vd. 11. μὴ δὲ. h, ε, m. 12. ξυμπέπτωκασι. γ, g. 13. περιττὰς. i 2, m. ib. κατὰ om. gu. ib. νότων. γ, g. 14. οὕτι velit J. ib. ὑπαγορεύει. λ. 15. ὁ στρεβλούμενος. J conj. ὁ om. ς. στρεβλούμενος om. vd. 17. λαγὼς. Γ, p, J. λαγωός. vd, φ, 2, 3, E. 18. ἐκεῖνος. f. ib. διαφυγέτω. p. ib. ξυνθήρ. J. 19. μηλαίαις. λ. ib. ἐς γῆν. gu. εἰς γ. ς. 20. καὶ καταταράττουσιν. f. καὶ ταράσσουσιν. φ, vd. ib. κατασείων. J, nescio unde. 21. αὐτῷ. μ, λ. αὐτοῦ. J. Hoc quoque unde sit, nescio. ib. πεζοῖ. E. ib. κατὰ ἴχνος. φ, μ, br, ρ. 22. αὐτὸν. ib. ἄλλη. λ. 23. διωλίσθεν. φ. ib. ἠρηκότα. l. ib. οἱ δ' οὖν. λ. 24. πάντες — σχήμασι. v. ib. π. δὲ ἐν. f, p. π. ἐν. v, φ, 2, 3, EJ. ib. ἁμαρτίας. v, λ. ib. τῷ — σχήματι. λ. 26. πολλῆς τῆς. f. ib. λέγεται γοῦν. l. λέγ. δὲ. λ. λέγ. ουν. ς. ib. τοῦ λαγὼ θηλάζειν. l. ib. μὲν αὐτὸν. vd. ib. αὐτὸ. φ, γ, g, gu, J. αὐτὸν. ς. 27. ἐπὶ τῷ αὐτῷ. φ. ἐπὶ ταυτά. l. pr. m. ἐπιταυτῷ. vd. ib. ἐπικυίσκει. C, J. ἐπικυίσκειν. E. ib. τοῦ om. λ. ib. τοκετοῦ. f, p, J. 29. ἐρωτικὴν om. vd. 30. τὰ μὲν οὖν φίλτρα καταλ. — ἐκείνῃ. v. ib. καταλείπωμεν. v, λ. καταλίπωμεν. ς. 31. ποῦ δὴ κατὰ τί. φ, v. ib. τῶν μήλων. C, EJ. Fo: τῶν μηλεῶν. ib. ἐκείνων. λ. ib. πέτραν. 1. πέτραν ἐκείνην. 2, 3, EJ.

12, 13. p. 771, 772.

τατον ὑπεκτρέχει χλωρόν τε καὶ πότιμον, ὃ δὴ καὶ διοχετεύεται ποτὸν εἶναι ταῖς μηλέαις; ἐνταῦθά 773
μοι τὴν Ἀφροδίτην νόει, νυμφῶν, οἶμαι, αὐτὴν ἱδρυμένων, ὅτι αὐτὰς ἐποίησεν ἐρώτων μητέρας
καὶ διὰ τοῦτο εὔπαιδας. καὶ κάτοπτρον δὲ τὸ ἀργυροῦν καὶ τὸ ὑπόχρυσον ἐκεῖνο σανδάλιον καὶ
αἱ περόναι αἱ χρυσαῖ, ταῦτα πάντα οὐκ ἀργῶς ἀνῆπται· λέγει δὲ Ἀφροδίτης εἶναι, καὶ γέγραπται
τοῦτο, καὶ νυμφῶν δῶρα εἶναι λέγεται, καὶ οἱ ἔρωτες δὲ ἀπάρχονται τῶν μήλων καὶ περιεστῶτες 5
εὔχονται καλὸν αὐτοῖς εἶναι τὸν κῆπον.

ΜΕΜΝΩΝ.

ξ'. Ἡ μὲν στρατιὰ Μέμνονος, τὰ ὅπλα δὲ αὐτοῖς ἀπόκειται καὶ προτίθενται τὸν μέγιστον
αὐτῶν ἐπὶ θρήνῳ, βέβληται δὲ κατὰ τὸ στέρνον, ἐμοὶ δοκεῖν, ὑπὸ τῆς μελίας. εὑρὼν γὰρ πεδίον
εὐρὺ καὶ σκηνὰς καὶ τεῖχος ἐν στρατοπέδῳ καὶ πόλιν συμπεφραγμένην τείχεσιν οὐκ οἶδ' ὅπως οὐκ
14 Αἰθίοπες οὗτοι καὶ Τροία ταῦτα, θρηνεῖται δὲ Μέμνων ὁ τῆς Ἠοῦς. τοῦτον ἀφικόμενον ἀμῦναι 10
τῇ Τροίᾳ κτείνει, φασίν, ὁ τοῦ Πηλέως, μέγαν ἥκοντα καὶ οὐδὲν αὐτοῦ μείω. σκόπει γάρ, ὅσος
μὲν κεῖται κατὰ τῆς γῆς, ὅσος δὲ ὁ τῶν βοστρύχων ἄσταχυς, οὓς, οἶμαι, Νείλῳ ἔτρεφε. Νείλου
γὰρ Αἰγύπτιοι μὲν ἔχουσι τὰς ἐκβολάς, Αἰθίοπες δὲ τὰς πηγάς. ὅρα τὸ εἶδος, ὡς ἔρρωται καὶ τῶν
ὀφθαλμῶν ἀπολωλότων. ὅρα τὸν ὄουλον, ὡς καθ' ἡλικίαν τῷ κτείναντι. οὐδ' ἂν μέλανα φαίης
τὸν Μέμνονα, τὸ γὰρ ἀκράτως ἐν αὐτῷ μέλαν ὑποφαίνει τι ἄνθους. αἱ δὲ μετέωροι δαίμονες Ἠὼς 15
ἐπὶ τῷ παιδὶ πενθοῦσα κατηφῆ ποιεῖ τὸν Ἥλιον καὶ δεῖται τῆς Νυκτὸς ἀφικέσθαι πρὸ καιροῦ καὶ
τὸ στρατόπεδον ἐπισχεῖν, ἵνα ἐγγένηταί οἱ κλέψαι τὸν υἱόν, Διός που ταῦτα νεύσαντος. καὶ ἰδού,
ἐκκέκλεπται καὶ ἔστιν ἐπὶ τέρμασι τῆς γραφῆς. [σπουδὴ καὶ κατὰ τί τῆς γῆς] τάφος οὐδαμοῦ Μέμ-
νονος, ὁ δὲ Μέμνων ἐν Αἰθιοπίᾳ, μεταβεβληκὼς ἐς λίθον μέλανα, καὶ τὸ σχῆμα μὲν καθημένου, 774
τὸ δὲ εἶδος ἐκεῖνο, οἶμαι, καὶ προσβάλλει τῷ ἀγάλματι ἡ ἀκτὶς τοῦ Ἡλίου· δοκεῖ γὰρ ὁ Ἥλιος 20
οἱονεὶ πλῆκτρον κατὰ στόμα ἐμπίπτων τῷ Μέμνονι ἐκκαλεῖσθαι φωνὴν ἐκεῖθεν καὶ λαλοῦντι σο-
φίσματι παραμυθεῖσθαι τὴν Ἡμέραν.

ΑΜΥΜΩΝΗ.

η'. Πεξεύοντι τὴν θάλατταν τῷ Ποσειδῶνι ἐντετύχηκας, οἶμαι, παρ' Ὁμήρῳ, ὅτε κατὰ τοὺς
Ἀχαιοὺς ἀπὸ Αἰγῶν στέλλεται, καὶ ἡ θάλαττα γαλήνην ἄγει παραπέμπουσα αὐτὸν αὐτοῖς ἵπποις
15 καὶ αὐτοῖς κήτεσι, καὶ γὰρ ἐκεῖνα ἕπεται καὶ σαίνει τὸν Ποσειδῶνα ὡς ἐνταῦθα. ἐκεῖ μὲν οὖν 25
ἠπειρωτῶν οἶμαι τῶν ἵππων αἰσθάνῃ, χαλκόποδάς τε γὰρ αὐτοὺς ἀξιοῖ εἶναι καὶ ὠκυπέτας καὶ

1. χλωερόν. l. ib. τε om. j et p 1698. ib. διοχεύεται. γ. 2. οἶμαι αὐτὴν om. λ. ib. ἱδρυμένην. l. ib. ἐποίησεν αὐτὰς. l. 3. ἄπαιδας. l. ib. καὶ κάτοπτρον. 1, J. κάτοπτρον. 2, 3, E. ib. ἐκείνῳ. λ. 4. ἀνῆπται ἀργῶς. l, γ, g. 5. τούτῳ. l. ib. δῶρα, οἶμαι conj. J. ib. περιέσθοντες. f. 6. ἀεὶ καλὸν conj. J.

VII. ὑπόκειται. γ. ib. προστίθενται. p 2955. 8. τῶν στέρνων. λ. ib. εὐρὸν. λ. 9. σκηνὰς et γρ. πηγὰς. p. ib. ξυμπεφρ. J. ib. οὐκ οἶδ' ὅπως — ταῦτα. v. 10. ἀμῦναι. vd. 11. οὐδὲν αὐτοῦ. p, l, 2. οὐδὲν ἂν αὐτοῦ. f, φ, 3, J. ἂν suprasc. in vd. pr m. 12. κατὰ γῆς. br. 14. ὡς om. λ. 15. ἐν αὐτῇ. f, p, unde J conj. ἐν αὐγῇ. ib. αἱ δὲ μετ. δαιμ. excitat Greg. Cor. p. 87. 17. ἵνα ἐγγ. 1. ἵν' ἐγγ. ς. 18. ἔκκλεπται. μ. ib. τέρμα. l. τέρματι. vd. ib. Verba σπουδὴ καὶ κατὰ τί τῆς γῆς partim ex superioribus 384, 31 huc irrepsisse videntur. J. conj.: ποῦ δὴ καὶ κατὰ τί τῆς γῆς τάφος; cui assentiens Welcker om. τάφος. At non dubito, quin τῆς γῆς ad complendam sententiam adjectum sit aliunde illatis. ib. τί om. p. ib. οὐδαμοῦ. λ. 19. ὁ δὲ — οἶμαι. v. ib. ἐν om. gu. ib. τὸ σχῆμα καθημένου. f et p ante corr. rec. τὸ μὲν σχ. καθ. v. 20. ἐκείνου. o. 21. κατὰ στόμα. C. κατὰ τὸ στόμα. EJ. τὸ suprasc. in vd ib. ἐμπίπτον. br. ib. Μέμνωνι. o. ib. καλοῦντι. j, p 1698.

VIII. 23. Ποσειδῶν ἢ Ἀμ. h, EJ. 24. ἀπὸ τῶν Αἰγῶν. h, J. ib. τοῖς ἵπποις. f. ib. ὅρα καὶ. vd. ib. ἵπποισι. p 2955. 25. καὶ γὰρ κἀκεῖ. conj. J. ib. Ποσειδῶ. l. 26. τε om. φ. ib. αὐτὸς. ρ. ib. ἀξιοῖς. μ, p 1761. ib. καὶ μ. πλήττ. om. br. pr. m.

14, 15. p. 773, 774. I, 7, 8.

μάστιγι πλήττεσθαι, ἐνταῦθα δὲ ἱππόκαμποι τὸ ἅρμα καὶ ἔφυδροι τὰς ὁπλὰς καὶ νευστικοὶ καὶ
775 τοὺς ὀφθαλμοὺς ὑπόγλαυκοι καί, νὴ Δία, ὅσα δελφῖνες κἀκεῖ μὲν δυσχεραίνειν ὁ Ποσειδῶν ἔοικε καὶ νεμεσᾶν τῷ Διὶ κλίνοντι τὸ Ἑλληνικὸν καὶ βραβεύοντι αὐτοῖς ἀπὸ τοῦ χείρονος, ἐνταῦθα δὲ φαιδρὸς γέγραπται καὶ ἱλαρὸν βλέπει καὶ σεσόβηται μάλα ἐρωτικῶς· Ἀμυμώνη γὰρ ἡ Δαναοῦ θα-
5 μίζουσα ἐπὶ τὸ τοῦ Ἰνάχου ὕδωρ κεκράτηκε τοῦ θεοῦ καὶ στέλλεται θηρεύσων αὐτὴν οὔπω ξυνιεῖσαν, ὅτι ἐρᾶται. τὸ γοῦν περίφοβον τῆς κόρης καὶ τὸ πάλλεσθαι καὶ ἡ κάλπις ἡ χρυσῆ διαφεύγουσα τὰς χεῖρας δηλοῖ τὴν Ἀμυμώνην ἐκπεπλῆχθαι καὶ ἀπορεῖν, τί βουλόμενος ὁ Ποσειδῶν ἐκλείπει πανσυδὶ τὴν θάλατταν, λευκήν τε ὑπὸ φύσεως οὖσαν ὁ χρυσὸς περιστίλβει κεράσας τὴν αὐγὴν
10 τῷ ὕδατι. ὑπεκστῶμεν, ὦ παῖ, τῇ νύμφῃ, καὶ γὰρ κῦμα ἤδη κυρτοῦται ἐς τὸν γάμον, τὸ δὲ κῦμα γλαυκὸν ἔτι καὶ τοῦ χαροποῦ τρόπου, πορφυροῦν δὲ αὐτὸ ὁ Ποσειδῶν γράφει.

ΕΛΟΣ.

Θ'. Ὕπομβρος μὲν ἡ γῆ, φέρει δὲ κάλαμον καὶ φλοιόν, ἃ δὴ ἅσπαρτα καὶ ἀνήροτα δίδωσιν ἡ τῶν ἑλῶν εὐφυία, καὶ μυρίκη γέγραπται καὶ κύπειρον, καὶ γὰρ ταῦτά ἐστι τῶν ἑλῶν. ὄρη δὲ οὐρανομήκη περιβέβληται φύσεως οὐ μιᾶς, τὰ μὲν γὰρ τὴν πίτυν παρεχόμενα λεπτόγεων τιθεῖ, τὰ δὲ κυπαρίττῳ κομῶντα τῆς ἀργιλώδους λέγει, ἐλάται δὲ ἐκεῖναι τί ἄλλο γε ἢ δυσχείμερον καὶ τραχὺ 16
15 τὸ ὄρος; οὐ γὰρ ἀσπάζονται βῶλον, οὐδὲ ἀγαπῶσι θάλπεσθαι· ταῦτά τοι καὶ ἀποικοῦσι τῶν πεδίων, ὡς ἐν τοῖς ὄρεσι ῥᾷον αὐξόμεναι τοῦ ἄνω. πηγαὶ δὲ ἀποβλύζουσι τῶν ὀρῶν, αἳ δὴ ῥέουσαι κάτω καὶ κοινούμεναι τὸ ὕδωρ ἕλος ὑπ' αὐτῶν τὸ πεδίον, οὐ μὴν ἄτακτόν γε, οὐδὲ οἷον πεφύρ- 18
776 θαι, διῆκται δὲ αὐτοῦ τὸ νᾶμα ὑπὸ τῆς γραφῆς, ὡς ἂν καὶ ἡ φύσις αὐτὸ διήγαγεν ἡ σοφὴ πάντων, Μαιάνδρους δὲ πολλοὺς ἑλίττει σελίνου βρύοντας ἀγαθοὺς ναυτίλλεσθαι τοῖς ὄρνισι τοῖς
20 ὑγροῖς. ὁρᾷς γάρ που τὰς νήττας, ὡς ἔφυδροι διολισθαίνουσιν ἀναφυσῶσαί τινας οἷον αὐλοὺς τοῦ ὕδατος. τί δὴ τὸ τῶν χηνῶν ἔθνος; καὶ γὰρ δὴ κἀκεῖνοι γεγράφαται κατὰ τὴν ἑαυτῶν φύσιν ἐπιπόλαιοί τε καὶ πλωτῆρες. τοὺς δὲ ἐπὶ μακροῖν τοῖν σκελοῖν, τοὺς περιττοὺς τὸ ῥάμφος ξένους οἶμαι αἰσθάνῃ καὶ ἅβροὺς ἄλλον ἄλλου πτεροῦ, καὶ τὰ σχήματα δὲ αὐτῶν ποικίλα. ὁ μὲν γὰρ ἐπὶ
25 πέτρας ἀναπαύει τῷ πόδε κατὰ ἕνα, ὁ δὲ ψύχει τὸ πτερόν, ὁ δὲ ἐκκαθαίρει, ὁ δὲ ᾔρηκέ τι ἐκ τοῦ ὕδατος, ὁ δὲ ἐς τὴν γῆν ἀπονένευκεν ἐπισιτίσασθαί τι ἐκεῖθεν. ἡνιοχεῖσθαι δὲ τοὺς κύκνους ὑπὸ τῶν ἐρώτων θαῦμα οὐδέν, ἀγέρωχοι γὰρ οἱ θεοὶ καὶ δεινοὶ παίζειν ἐς τοὺς ὄρνιθας, ὅθεν μηδὲ τὴν ἡνιόχησιν ἀργῶς παρέλθωμεν, μηδὲ αὐτὸ τὸ ὕδωρ, ἐν ᾧ ταῦτα. τὸ μὲν γὰρ δὴ ὕδωρ τοῦτο κάλλιστον τοῦ ἕλους, τῆς γῆς αὐτὸ διδούσης αὐτόθεν, συνίσταται δὲ ἐς κολυμβήθραν παγκάλην. διὰ μέσου γὰρ τοῦ ὕδατος ἀμάραντα νεύει τὰ μὲν ἔνθεν, τὰ δὲ ἐκεῖθεν, ἠδεῖς ἀστάχυες

1. δὲ. J. δ'. ς. ib. ὑπόκαμποι. φ, ρ, β. ὑπόκαμπτοι. μ, p 1761. ἱππόκαμπτοι. p 1760, et 2955, γ, g. ib. καὶ ἔφυδροι. 2. ἔφυδροι. ς. (ὕφεδροι. f. ὕφυδροι. p.) ib. καὶ τοὺς – δελφῖνες. v. ib. καὶ τοὺς ὀφθαλμοὺς ὑπόγλαυκοι. v. καὶ γλαυκοὶ. ς. 2. ὅσα om. λ. ib. κἀκεῖ δὲ. l. 3. νεμεσᾶν. φ. νεμεσᾷ. h. 4. βλέπει. 1, J. βλέπων. ς. ib. Ἀμυμώνη δὲ. φ. 5. τὸ Ἰνάχου. λ. 6. τὸ γοῦν. 1, J. τὸ οὖν. ς. ib. παράλλεσθαι. λ. 7. ἐκπλῆχθαι. br. ib. ἐλλείπει. f. λείπει. j. ἐκλίπει. h. 8. πανσυδὶ. 1, 3, J. πασσυδί. 2. (γρ. πανσυδί. p 1761.) E. ib. ἀπὸ φύσεως velit J. 9. ὑπεκστῶμεν – νύμφῃ. Gr. Herm. 377. ib. ὑπεκστῶσαν λ. ib. καὶ γὰρ κῦμα. f, φ, p. κῦμα γὰρ. vd, 2, 3, EJ. ib. τὸ δὲ κῦμα – τρόπου. v. ib. τὸ δὲ κῦμα γλαυκὸν. v. γλαυκόν. ς. 10. τοῦ πορφυροῦ τρόπου. v. ib. πορφυφυροῦν. l. ib. γράψει conj. J.

IX. Ἕλος inscriptio est in C, Ἕλη in EJ. 11. δὴ ἅπαντα. f. δὴ ἄσπατα. gu. ib. ἀνήρωτα. m, o. 13. τῶν λεπτόγεων conj. J. 14. αἱ κεῖναι. λ. ἐκεῖνο. gu. ib. ἄλλο γε. 1, J. ἄλλο. 2. 3, E. 15. ἀσπάζεται. gu. ib. οὐ γὰρ ἀγαπῶσι. λ. ἐπιθυμοῦσι et suprasc. ἀγαπῶσι. ψ. 16. αὐξόμεναι. f, φ. αὐξανόμεναι. ς. ib. τοῦ ἄνω om. o. τῷ ἀνέμῳ conj. J. 17. κινούμεναι. l. ib. ὅλος ἀπ' αὐτῶν. φ. ib. παιδίον. vd. 18. τὸν ἅμα. p 2955. ib. τῆς om. λ. 19. ναυτίλεσθαι. h. 20. γάρ που. 1, J. γάρ. ς. ib. νήτας. λ. ib. ἔνυδροι. λ. 21. τί τὸ δή. m. ib. γεγράφθαι. λ. ib. ἐπιπόλαιοί τινες. φ. 22. τοὺς δὲ – πτεροῦ. v. 23. ἀλλοίου. f, p, h, β pro gl. J. ἄλλου. φ, 2, l, ρ, ψ. ἄλλα. p 2955. ib. ὁ μὲν γὰρ – ἐκεῖθεν. Aristaenet. I, 3, 17. ed. B. 24. ψήχει. γ, g, et Eugenic. 170. ψήχει τὸ πτερὸν. ib. ᾔρε. Arist. ib. κατανένευκεν. Arist. ib. ἀποσιτίσασθαι. Arist. 26. ἀπὸ τῶν. γ. 27. μὲν γὰρ. f et p ante corr. J. μὲν. vd, φ, 2, 3, E. 28. τῆς γῆς. l. πηγῆς. ς. ib. συνίσταται — ἐκεῖθεν. Gr. Herm. 384. συνίσταται — παγκάλην. Θ. s. v. συνίσταται. 29. μέσου δὲ. h, E.

16. p. 775, 776. I, 9.

καὶ βάλλοντες ἄνθει τὸ ὕδωρ. περὶ τούτους ἡνιοχοῦσιν ἔρωτες ἱεροὺς καὶ χρυσοχαλίνους ὄρνις ὁ μὲν πᾶσαν ἡνίαν ἐνδιδούς, ὁ δὲ ἀνακόπτων, ὁ δὲ ἐπιστρέφων, ὁ δὲ περὶ τὴν νύσσαν ἐλαύνων. καὶ παρακελευομένων τοῖς κύκνοις ἀκούειν δόκει καὶ ἀπειλούντων ἀλλήλοις καὶ τωθαζόντων, ταῦτα γὰρ τοῖς προσώποις ἔπεστιν. ὁ δὲ καταβάλλει τὸν πέλας, ὁ δὲ καταβέβληκεν, ὁ δὲ ἠγάπησεν ἐκπεσεῖν τοῦ ὄρνιθος, ὡς λούσαιτο ἐν τῷ ἱπποδρόμῳ. κύκλῳ δὲ ταῖς ὄχθαις ἐφεστᾶσιν οἱ μουσικώτεροι τῶν κύκνων, ἐπᾴδοντες, οἶμαι, τὸν ὄρθιον, ὡς πρὸς τρόπου τοῖς ἀμιλλωμένοις. σημεῖον τῆς ᾠδῆς ὁρᾷς τὸ πτηνὸν μειράκιον; ἄνεμος τοῦτο Ζέφυρος, τὴν ᾠδὴν τοῖς κύκνοις ἐνδιδούς. γέγραπται δὲ ἁπαλὸν καὶ χαρίεν ἐς αἴνιγμα τοῦ πνεύματος, καὶ αἱ πτέρυγες ἥπλωνται τοῖς κύκνοις πρὸς τὸ πλήττεσθαι ὑπὸ τοῦ ἀνέμου. ἰδοὺ καὶ ποταμὸς ὑπεξέρχεται τοῦ ἕλους εὐρὺς καὶ ὑποκυμαίνων, διαβαίνουσι δ' αὐτὸν αἰπόλοι καὶ νομεῖς ἐπὶ ζεύγματος. εἰ δὲ τῶν αἰγῶν ἐπαινοίης τὸν ζωγράφον, ὅτι αὐτὰς ὑποσκιρτώσας καὶ ἀγερώχους γέγραφεν, ἢ τῶν προβάτων, ὅτι σχολαῖον αὐτοῖς τὸ βάδισμα καὶ οἷον ἄχθος οἱ μᾶλλοι, τάς τε σύριγγας εἰ διεξίοιμεν ἢ τοὺς χρωμένους αὐταῖς, ὡς ὑπεσταλμένῳ τῷ στόματι αὐλοῦσι, σμικρὸν ἐπαινεσόμεθα τῆς γραφῆς καὶ ὅσον ἐς μίμησιν ἥκει, σοφίαν δὲ οὐκ ἐπαινεσόμεθα, οὐδὲ καιρόν, ἃ δὴ κράτιστα δοκεῖ τῆς τέχνης. τίς οὖν ἡ σοφία; ζεῦγμα φοινίκων ἐπιβέβληκε τῷ ποταμῷ καὶ μάλα ἡδὺν ἐπ' αὐτῷ λόγον· εἰδὼς γὰρ τὸ περὶ τῶν φοινίκων λεγόμενον καὶ ὅτι αὐτῶν ὁ μὲν ἄρσην τις, ἡ δὲ θήλεια, καὶ περὶ τοῦ γάμου σφῶν διακηκοὼς καὶ ὅτι ἄγονται τὰς θηλείας περιβάλλοντες αὐτὰς τοῖς κλάδοις καὶ ἐπιτείνοντες αὐτοὺς ἐπ' αὐτὰς ἀφ' ἑκατέρου τοῦ γένους δύο φοίνικας, ἕνα κατὰ μίαν ὄχθην, γέγραφεν· εἶτα ὁ μὲν ἐρᾷ καὶ ἐπικλίνεται καὶ ὑπεράλλεται τοῦ ποταμοῦ, τῆς δὲ θηλείας ἔτι ἀφεστώσης οὐκ ἔχων ἐπιλαβέσθαι κεῖται καὶ δουλεύει ζεύξας τὸ ὕδωρ, καὶ ἔστι τοῖς διαβαίνουσιν ἀσφαλὴς ὑπὸ τῆς τοῦ φλοιοῦ τραχύτητος.

ΑΜΦΙΩΝ.

ι'. Τῆς λύρας τὸ σόφισμα πρῶτος Ἑρμῆς πήξασθαι λέγεται κεράτοιν δυοῖν καὶ ζυγοῦ καὶ χέλυος, καὶ δοῦναι μετὰ τὸν Ἀπόλλω καὶ τὰς Μούσας Ἀμφίονι τῷ Θηβαίῳ τὸ δῶρον, ὁ δὲ οἰκῶν τὰς Θήβας οὔπω τετειχισμένας ἀφῆκε κατὰ τῶν λίθων τὰ μέλη καὶ ἀκούοντες οἱ λίθοι συνθέουσι. ταῦτα γὰρ τὰ ἐν τῇ γραφῇ. πριώτην οὖν διαθεῶ τὴν λύραν, εἰ καθ' αὑτὴν γέγραπται. τὸ μὲν γὰρ κέρας αἰγὸς ἰξάλου ποιηταί φασι, χρῆται δὲ αὐτῷ ὁ μὲν μουσικὸς ἐς τὴν λύραν, ὁ δὲ τοξότης ἐς τὰ οἰκεῖα. μέλανα καὶ πριονωτὰ ὁρᾷς τὰ κέρατα καὶ δεινὰ ἐναράξαι, ξύλα δέ, ὅσων δεῖ τῇ λύρᾳ, πύξου πάντα στρυφνοῦ καὶ λείου τὸν ὄζον. ἐλέφας οὐδαμοῦ τῆς λύρας οὔπω οἱ ἄνθρωποι εἰδότες

1. ὄρνεις. h. 2. ἡνιοχείαν. vd. ib. ἐλαύνων. f et p, ubi γρ. ἐκκλίνων. J. ἐκκλίνων. ς. 3. δοκεῖ. φ. 5. ἐφεστῶσιν. f. 6. τὸ ὄρθιον. h, E. ib. πρὸς τρόπον. λ. ib. Verba σημεῖον τῆς ᾠδῆς glossam sapiunt. 8. χαρίεν. h. ib. αἱ om. vd. ib. οἱ πτ. J. ib. τῶν κύκνων. br. 9. πρὸς τοῦ πλήττεσθαι velit J. ib. ἰδοὺ ποταμὸς — νομεῖς. Gr. Herm. 365. respicit huc etiam Eugenic. 161, ubi legitur ἡδὺς καὶ κάτωθεν ὑποκυμαίνων. ib. τοῦ ἕλους om. φ. 10. διαβαίνουσιν αὐτὸν. ρ. διαβ. δὲ αὐτὸν. ψ. ib. αὐτοὶ. λ. ib. ζεύκματος. λ. ib. εἰ δὲ — τῆς τέχνης. v. ib. ἐπαινείης. v. 11. γεγράφασιν. vd. ib. σχολαίων p 2955. 12. οἱ μᾶλλοι conj. J. ἢ μᾶλλον. C, E. ib. εἰ om. j, p 1698. 13. ἀπεσταλμένῳ. br. ib. σώματι corr. sec. m. vd. ib σμικρὸν. v, f, φ, J. μικρὸν. ς. 14. σοφίαν — τέχνης adhibuit paucis mutatis Eugenic. 158. ib. τί. λ. ib. ἢ om. m. 15. ἐπιβέβληκε — φοινίκων om. p 2955. ib. οἶδας. f, p. 16. λεγόμενον ὅτι. f. ib. ὁ μὲν αὐτῶν. φ. ὅτι τῶν. p 2955. ib. ἄρσεν. λ. ἄρρην. γ, g. 17. διακήκοας. f, p. ib. διακ. οτι. f. ib. κλ. ἐπιτείνοντες. λ. ib. αὐτοὺς. vd, φ, gu, h. 18. ἑφ' ἑκατέρου. λ. ib. τοῦ γε δύο. vd. ib. δύο φοίνικας om. f. ib. ἕναν. φ. 19. ὑπερβάλλεται. φ, λ, gu. ib. τοῦ om. J. ib. ἐπιβάλλεσθαι. φ. 20. κεῖται δὲ. λ. ib. τῆς om. λ. ib. τραχύτατος. λ.

ια. 22. τῆς λύρας. f, p, vd, J. τὴν λύραν. ς. ib. κατὰ ζυγοῦ. J, nescio unde. 23. Ἀμφίονι. λ. ib. τὸ δῶρον. 1 (in p τὸ erasum) praeter vd. δῶρον ς. ib. τὰ om. f incl. J. ib. βέλη, μ suprasc. h. 25. διαθῶμεν. f, p. διαθρῶ. j. ib. καθ' αὑτὴν. o. ib. αἰγὸς — φασί laudat Schol. Aristid. Panath. p. 5 ed. Dindf. 26. οἱ ποιηταί. l. 27. τριόπ
νωτα. φ. πριόνωτα. br. πριόνωπα. j. πριόνωτα. ς. ib. ἐναρράξαι. p. ib. ξύλα — ὄζον. v. ib. δὴ. h, E. ib. ὅσα. v, f, p, vd. ὅσ' ἐνδεῖ. p 2955. 28. στρεφνοῦ. v, f, vd. στριφνοῦ. 2. ib. εἰδότες αὐτὸ. ψ.

777 778

18. p 777, 779. 1, 10.

οὔτε αὐτὸ τὸ θηρίον, οὔτε ὅ τι τοῖς κέρασιν αὐτοῦ χρήσονται, καὶ ἡ χέλυς μέλαινα μέν, διηκρίβωται δὲ κατὰ τὴν φύσιν καὶ λαγαροὺς περιβέβληται κύκλους ἄλλον ξυνάπτοντας ἄλλῳ ξανθοῖς τοῖς ὀμφαλοῖς, νευραὶ δὲ τὰ μὲν ἐπὶ τῇ μαγάδι πρόκεινται καὶ τοῖς ὀμφαλοῖς ἁπαντῶσι, τὰ δὲ ὑπὸ τῷ ζυγῷ κοῖλα δοκοῦσι. σχῆμά που τοῦτο αὐτῶν ἀναλογώτατον ἀνακεκλίσθαι σφᾶς ὀρθὰς ἐν τῇ λύρᾳ. ὁ δὲ Ἀμφίων τί φησι; τί ἄλλο γε ἢ ψάλλει καὶ [ἡ ἑτέρα χεὶρ] τείνει τὸν νοῦν ἐς τὴν
779 πηκτίδα καὶ παραφαίνει τῶν ὀδόντων, ὅσον ἀπόχρη τῷ ᾄδοντι; ᾄδει δέ, οἶμαι, τὴν γῆν, ὅτι πάν- 19
των γενέτειρα καὶ μήτηρ οὖσα καὶ αὐτόματα ἤδη τείχη δίδωσιν. ἡ κόμη δὲ ἡδεῖα μὲν καὶ καθ' ἑαυτὴν ἐναλύουσα μὲν τῷ μετώπῳ, συγκατιοῦσα δὲ τῷ ἰούλῳ παρὰ τὸ οὖς καὶ χρυσοῦ τι ἐπιφαίνουσα, ἡδίων δὲ μετὰ τῆς μίτρας, ἣν φασιν οἱ τῶν ἀποθέτων ποιηταὶ Χάριτας καμεῖν, ἄγαλμα ἥδιστον καὶ προσεχέστατον τῇ λύρᾳ. δοκῶ μοι τὸν Ἑρμῆν ἔρωτι κατειλημμένον δοῦναι Ἀμφίονι ἅμφω τὰ δῶρα. καὶ ἡ χλαμύς, ἣν φορεῖ, παρὰ τοῦ Ἑρμοῦ καὶ αὕτη. οὐ γὰρ ἀφ' ἑνὸς φέρει χρώματος, ἀλλὰ τρέπεται καὶ κατὰ τὴν ἶριν μετανθεῖ. κάθηται δὲ ἐπὶ κολωνοῦ τῷ μὲν ποδὶ κρούων ξυμμελές, τῇ δεξιᾷ δὲ παραπλήττων τὰς νευρὰς ψάλλει, καὶ ἡ ἑτέρα χεὶρ ἐν ὀρθαῖς ταῖς τῶν δακτύλων προβολαῖς, ὅπερ ᾠμην πλαστικὴν ἀπαυθαδιεῖσθαι μόνην. εἶεν. τὰ δὲ τῶν λίθων πῶς ἔχει; πάντες ἐπὶ τὴν ᾠδὴν συνθέουσι καὶ ἀκούουσι καὶ γίγνονται τεῖχος, καὶ τὸ μὲν ἐξῳκοδόμηται, τὸ δὲ ἀναβαίνει, τὸ δὲ ἄρτι κατέλαβε, φιλότιμοι καὶ ἡδεῖς λίθοι καὶ θητεύοντες μουσικῇ, τὸ δὲ τεῖχος ἑπτάπυλον, ὅσοι τῆς λύρας οἱ τόνοι.

ΦΑΕΘΩΝ.

780 ιά. Χρυσᾶ τῶν Ἡλιάδων τὰ δάκρυα· Φαέθοντι λόγος αὐτὰ ῥεῖν, τοῦτον γὰρ παῖδα Ἡλίου γενόμενον ἐπιτολμῆσαι τῷ πατρῴῳ δίφρῳ κατὰ ἔρωτα ἡνιοχήσεως καὶ μὴ κατασχόντα τὴν ἡνίαν σφαλῆναι καὶ ἐν τῷ Ἠριδανῷ πεσεῖν. ταῦτα τοῖς μὲν σοφοῖς πλεονεξία τις εἶναι δοκεῖ τοῦ πυρώδους, ποιηταῖς δὲ καὶ ζωγράφοις ἵπποι καὶ ἅρμα, καὶ συγχεῖται τὰ οὐράνια. σκόπει γάρ· νὺξ μὲν 20
ἐκ μεσημβρίας ἐλαύνει τὴν ἡμέραν, ὁ δὲ ἡλίου κύκλος ἐς γῆν ῥέων ἔλκει τοὺς ἀστέρας. αἱ δὲ Ὧραι τὰς πύλας ἐκλιποῦσαι φεύγουσιν ἐς τὴν ἁπαντῶσαν αὐταῖς ἀχλὺν καὶ οἱ ἵπποι τῆς ζεύγλης ἐκπεσόντες οἴστρῳ φέρονται, ἀπαγορεύει δὲ ἡ Γῆ καὶ τὰς χεῖρας αἴρει ἄνω, ῥαγδαίου τοῦ πυρὸς ἐς αὐτὴν ἰόντος. ἐκπίπτει δὲ τὸ μειράκιον καὶ καταφέρεται, τήν τε γὰρ κόμην ἐμπέπρησται καὶ

1. οὔτε ὅ τι. φ. οὔθ' ὅ τι. EJ. ib. καὶ ἡ χέλυς — κύκλους. Gr. Herm. 364. 2. συνάπτ. φ. 3. ὀφθαλμοῖς. ρ et h pr. m. ib. τὰ μὲν — τὰ δὲ, suprasc. αἱ bis, vd. ib. ὑπὸ τῇ μ. f, p, vd. ib. μαγίδι. φ. ib. πρόσκεινται. f, p, vd. πρόκειται. ψ. 4. σχῆμα τοῦτο. 2 (p 2955.) ib. αὐτῶν om. μ, J. αὐτὸ cett. 2. αὐτὸν. λ. ib. ὀρθοὺς. f, p, vd. 5. ὁ δὲ — ψάλλει. v. ib. ἡ ἑτέρα χεὶρ om. p 2596, incl. J. 6. πυκτίδα. f et p ante corr. m. ib. καὶ παραφ. — ᾄδοντι. v. ib. παρεμφαίνει. λ. 7. οὖσα om. o. ib. ἤδη. br. ex corr. j, gu, et J ex conj. ἤδε. ς. ib. τὰ τείχη. f. τέχνη. j et br. ib. Haec expressit Aristaenet. I, 11 p. 54 ed. B. 8. περὶ τὸ οὖς. vd. ib. ἀποφαίνουσα. h. 9. μήτρας. f. μίτρης. φ.
οσ
ib. καμεῖν. φ, μ, p 2562, E. καμεῖν. f. κοσμεῖν et γρ. καμεῖν. β. κοσμεῖν. ς. (κορμεῖν. γ.) 10. προσεχέστατον. γ, g, J. correxit ita jam Hemsterh. in exemplari suo, deinde Heyne Opusc. V, 37 et Koen. ad Gr. Cor. 195. ib. Ἀμφίονι. l. 11. καὶ om. l. ib. χλαμὶς. br. ib. κἀκείνη παρὰ τ. Ἑ. ταῦτα. f, vd. παρὰ τ. Ἑ. καὶ ταῦτα. φ. κἀκείνη παρὰ τ. Ἑ. τάχα. p, J. παρὰ τ. Ἑ. καὶ αὕτη. 2, 3, E. ib. οὐ γὰρ — μετανθεῖ. Aristaenet. I, 11, p. 54. ed. B. et v. ib. ἐφ' ἑνὸς μένει. Arist. 12. κατὰ τὴν ἶριν om. Arist. τρέπεται κατὰ τὴν ἶριν καὶ μετανθεῖ. v. ib. τὴν ῥῖνα. gu. ib. τὸ μὲν. m, o. 13. συμμελὲς. φ. ib. πλήττων. gu. ib. ἐν om. f, p. ib. ταῖς om. 2. 14. προσβολαῖς. l. ib. ᾠμην conj. J. οἶμαι. C, E. ib. εἶεν — συνθέουσι. v. 15. πάντες — τεῖχος. Gr. Herm. 367 et 375. ib. τὴν ὁδὸν Gr. Herm. 367. ib. γίνεται. f. γένονται. p 2955. ib. καὶ τὰ. φ. 16. ἄνω βαίνει. φ. ib. κατελάβοντο. f, vd. ib. ἡδεῖς λίθοι. l. ἡδεῖς οἱ λίθοι. ς. ib. καὶ τὸ τεῖχος. ψ, gu.

XI. 18. χρυσᾶ — ῥεῖν. v. ib. ῥεῖν αὐτὰ. l, pal. ib. τοῦτον δὲ. m2. 19. γιγνόμενον. λ. γινόμενον. μ. ib. δήφρῳ. p 2706. ib. ἡνιοχεύσεως. λ. 20. σφαλῆναι ἐν. pal. ib. πυρρώδους. vt 97, p 1760, 2706, 2955. 21. καὶ ξυγγραφεῦσιν. r ex corr. καὶ λογογράφοις. n. 22. τοῦ ἡλίου. j, p 1698, br. rec. m. ib. κύκλος om. j, p 1698. 23. τὰς θύρας. l, pal. ib. ἐκλείπουσαι. γ, g. ib. φεύγωσιν. f2. ib. αὐτοὺς et corr. αὐταῖς. f7. αὐτοὺς et suprasc. αὐτῆς. fe. ib. ἀκλὴν m1. ib. καὶ ἵπποι. vt 20, 100, f7, fe, in r οἱ est suprasc. 24. δὲ om. gu. ib. ἄρει ἄρω. m2. 25. καταφαίρεται. pal. ib. ἐκπέπρησται. vt 97. ib. κώμην. p 2706.

19, 20. p. 779, 780. I, 11.

τὰ στέρνα ὑποτύφεται ποταμῳ τε Ἠριδανῷ ἐμπεσεῖται καὶ παρέξει μῦθόν τινα τῷ ὕδατι· κύκνοι γὰρ δὴ ἀναφυσῶντες ἡδὺ τὸ ἐντεῦθεν καὶ ποιήσονται ᾠδὴν τὸ μειράκιον, ἀγέλαι τε αὐτῶν ἀρθεῖσαι Καύστρῳ ταῦτα καὶ Ἴστρῳ ᾄσονται καὶ οὐδὲν ἀνήκοον ἔσται τοῦ τοιούτου λόγου, Ζεφύρῳ τε χρήσονται πρὸς τὴν ᾠδὴν ἐλαφρῷ καὶ ἐνοδίῳ, λέγεται γὰρ ξυναυλίαν τοῦ θρήνου τοῖς κύκνοις 781
ὁμολογῆσαι. ταῦτά τοι καὶ πάρεστι τοῖς ὄρνισιν, ὥστε ὥρα καὶ ψάλλειν αὐτοὺς οἷον ὄργανα. τὰ δὲ ἐπὶ τῇ ὄχθῃ γύναια, αἳ οὔπω δένδρα, φασὶ τὰς Ἡλιάδας ἐπὶ τῷ ἀδελφῷ μεταφῦναι καὶ ἐς δένδρα λῆξαι δάκρυά τε ἀφιέναι. καὶ ἡ γραφὴ ταῦτα οἶδε· ῥίζας γὰρ βαλλομένη ταῖς παρυφαῖς τὰ μὲν ἐς ὀμφαλὸν δένδρα αὖται, τὰς δὲ χεῖρας ὄζοι φθάνουσι. φεῦ τῆς κόμης, ὡς αἰγείρου πάντα. φεῦ τῶν δακρύων, ὡς χρυσᾶ, καὶ τὸ μὲν πλημμῦρον ἐν τῇ τῶν ὀφθαλμῶν ἕδρᾳ χαροπαῖς ἐπαυγάζει ταῖς κόραις καὶ οἷον ἀκτῖνα ἕλκει, τὸ δὲ ταῖς παρειαῖς ἐντυγχάνον μαρμαίρει περὶ τὸ ἐκείνῃ ἔρευθος, τὰ δὲ στάζοντα κατὰ τοῦ στέρνου χρυσὸς ἤδη. θρηνεῖ καὶ ὁ ποταμὸς ἀνέχων τῆς δίνης καὶ τῷ μὲν Φαέθοντι κόλπον ὑπέχει, τὸ γὰρ χρῶμα δεξαμένου, τὰς δὲ Ἡλιάδας γεωργήσει
21 αὐτίκα, αὔραις γὰρ καὶ κρυμοῖς, οὓς ἀναδίδωσι, λιθουργήσει καὶ πεσόντα ὑποδέξεται καὶ διὰ φαιδροῦ τοῦ ὕδατος ἀπάξει τοῖς ἐν Ὠκεανῷ βαρβάροις τὰ τῶν αἰγείρων ψήγματα.

ΒΟΣΠΟΡΟΣ.

ιβ′. — [τὰ δὲ ἐπὶ τῇ ὄχθῃ γύναια] παραβοῶσι, παρακαλεῖν δὲ καὶ τοὺς ἵππους ἐοίκασι μὴ ῥῖψαι τὰ παιδία, μηδὲ ἀποπτύσαι τὸν χαλινόν, ἐλεῖν δὲ καὶ συμπατῆσαι τὰ θηρία, οἱ δὲ ἀκούουσιν, οἶμαι, καὶ ποιοῦσι ταῦτα. θηράσαντας δὲ αὐτοὺς καὶ δαῖτα ἠρηκότας διαπορθμεύει ναῦς ἀπὸ τῆς Εὐρώπης ἐς τὴν Ἀσίαν σταδίους μάλιστά που τέτταρας, τουτὶ γὰρ τὸ ἐν μέσῳ τοῖν ἐθνοῖν, καὶ αὐτερέται πλέουσιν· ἰδοὺ καὶ πεῖσμα βάλλονται, δέχεται δὲ αὐτοὺς οἰκία μάλα ἡδεῖα θαλάμους ὑποφαίνουσα καὶ ἀνδρῶνας καὶ θυρίδων ἴχνη, καὶ τεῖχος δὲ περιβέβληται καὶ ἐπάλξεις ἔχει. τὸ δὲ κάλλιστον αὐτῆς, ἡμίκυκλος περιέστηκε στοὰ τῇ θαλάττῃ κιρροειδὴς ὑπὸ τοῦ ἐν αὐτῇ λίθου. γένεσις ἐκ πηγῶν τῷ λίθῳ, θερμὸν γὰρ νᾶμα ὑπεκρέον τὰ τῆς κάτω Φρυγίας ὄρη καὶ τὸ ῥεῦμα ἐς 782
τὰς λιθοτομίας ἐσάγον ὑπόμβρους ἐργάζεται τῶν πετρῶν ἐνίας καὶ ὑδατώδη ποιεῖ τὴν ἔκφυσιν τῶν

1. ὑποτίφεται. br, p 2706. ὑποτετύφωται. ex corr. r. ib. ποταμῷ δὲ. 2 (p 2955.) ib. τῷ Ἠριδανῷ. vd. 2. δὴ om. φ et f7, fe. ib. ἀναφυσσῶντες. f1 et 7, fe, m2. ib. τὸ ἐντεῦθεν. λ et Ham. Lect. Ph. p. 49. τὸ ἔνθεν. ς. τι ἔνθεν καὶ ἔνθεν conj. J. ib. καὶ om. o. 3. καὶ ὕστρῳ. pal. ib. οἴστρῳ. br, p 2706, f1, n ante corr. ib. καὶ οὐ οὐδὲν. γ. ib. τοῦ τοιοῦδε λόγου. β. 4. χρήσεται corr. ead. m. φ. ib. ἐλάφρῳ τε. r ex corr. ib. εὐδίῳ J ex Heynii conj. Op. V, 44. ib. συναυλίαν. 1, f7. ξυναυλίαν. ς. 5. ταῦτά τι. f, φ, r. ib. ὄρνεσιν. pal. ὄρνισι. m1. ib. ὡς. f7, fe. ib. ὅρα velit Welcker. ib. ὥρα τὸ ᾄδειν καὶ ψάλλειν. r ex corr. ib. αὐτὰς. ρ. ib. αὐτοὺς πληττομένους τὰ πτερὰ τῷ ζεφύρῳ οἷον ὄργανα. μ, eadem rubricata leguntur in β. Addita gl. in μ: ὥσπερ τὰ ὄργανα τῷ εἰσί πλήκτρῳ, in p 1761: ὥσπερ τὰ πληττόμενα τὰ πτερὰ τῷ ζεφύρῳ, ὥσπερ τὰ ὄργανα τῷ πλήκτρῳ. 6. δένδρα φασί. p 1761. ib. ἃ. vd. ib. μεταφύναι. o. in f7: corr. μεταθεῖναι. 7. τε γὰρ. br. ib. ταῖς παρυφαῖς. J conj. ταῖς κορυφαῖς. ς. ib. βαλομένη. ρ, h, E. 8. δὲ om. gu. ib. αἰγύρου. br, p 2706. ἀγεῖρον. f2. 9. ἐπὶ et ἐν suprasc. l. ib. ἕδρα r et vat. 20. 10. ἐπαυγάζεται (et ει suprasc.) κόραις. r. ἀπαυγάζει. h. ἐπ' αὐγάζει. gu. ib. ἀκτῖνας. 2. (μ, p 1760, 1761. 2706, 2955, br. vat. 97, 1404. f4 et 3 ante corr.) ἀκτίνα. r. ib. παροιαῖς. λ. ib. παρὰ τὸ. p. 11. ἐκείνῃ. f, p, J. ἐκείνης. vd. ἐκείναις. suprasc. ων. ψ, f1, ven. cl. XI, 15. r, vat. 20, 1404. ἐκείναις. l, φ, j, p 1698, g, gu, μ, br. f4, f6, f7, fe. ἐκείνων. f2, f3. ib. στεγάζοντα. pal. E. ib. καὶ τὸν τοῦ στέρνου. j. ib. θρηνεῖ om. vat. 20. 12. τὸ μὲν. pal. ib. σχῆμα. f et m. mg. o, J. ib. δεξομένου. m, o. ib. κρυμνοῖς. vat. 1404 et del. v. r. 13. οὓς ἀναδ. f, φ, p, J. οἷς ἀναδ. ς. ib. λειτουργήσει. m, o. λειθουργήσει. m1. ib. καὶ πεσόντα. 1. καὶ τὰ πεσόντα. ς. 14. ὑπάξει. vat. 97,1404 et p. 1761, ubi α suprasc. ib. τῶν om. fe. ib. ἀγείρων. m.

XII. 15. Excidisse nonnulla recte censuit Salm. Ipse τὰ — γύναια ex superioribus translata snspicor. ib. τάδ'. E. τάδε. gu. ib. καὶ om. m, o. ib. ἐοίκασιν. h. 16. πεδία. vd. 17. δαῖτος. φ. ib. διαπορθμεύειν. λ. 18. εἰς. vd, μ, γ, g. ib. μάλιστα ποῦ. f. ib. τέτταρας. l, o, J. τέσσαρας. ς. ib. τουτὶ γὰρ τὸ ἐν μέσῳ. f, p. τ. γ. τοὺν μέσῳ. φ, vd. τ. γάρ που τοὺν μέσῳ. 2, 3, EJ. ib. θεοῖν. gu. 20. παραβέβληται. φ. ib. τὸ δὲ — λίθου. Gr. Herm. 377. 21. στοὰ om. φ, Gr. Herm. ib. κηροειδὴς. f, h, et l ex corr. σκιροειδὴς. p. σκιρροειδὴς φ et Gr. Herm. 22. πηγῶν. 1, β, γ, J. πηγῆς. ς. ib. τῆς om. λ. κάτω om. 2, 3, E. ib. ὄρη τὸ ῥ. p.

21. p. 781. 782. I, 12.

λίθων, ὅθεν αὐτῶν καὶ πολλὰ τὰ χρώματα· θολερὸν μὲν γάρ, ἔνθα λιμνάζει, καὶ κιρροειδὲς δίδωσι, καθαρὸν δὲ ὅπου, κρυσταλλοειδὲς ἐκεῖθεν καὶ ποικίλλει τὰς πέτρας ἐν πολλαῖς διαπινόμενον ταῖς ὀπαῖς. ἡ ἀκτὴ δὲ ὑψηλὴ καὶ τοιοῦδε μύθου φέρει σύμβολα· κόρη καὶ παῖς ἄμφω καλὼ καὶ φοιτῶντε ταὐτῷ διδασκάλῳ προσεκαύθησαν ἀλλήλοις καὶ περιβάλλειν οὐκ οὔσης ἀδείας ὥρμησαν ἀποθανεῖν ἀπὸ ταυτησὶ τῆς πέτρας κἀντεῦθεν ἤρθησαν ἐς τὴν θάλατταν ἐν ὑστάταις καὶ πρώταις περιβολαῖς, καὶ ὁ Ἔρως ἐπὶ τῇ πέτρᾳ τείνει τὴν χεῖρα ἐς τὴν θάλατταν, ὑποσημαίνων τὸν μῦθον ὁ ζωγράφος. ἡ δὲ ἐφεξῆς οἰκία, χηρεύει τι γύναιον ἐξεληλυθὸς τοῦ ἄστεος δι' ὄχλον νέων, ἁρπάσασθαι γὰρ αὐτὸ ἔφασαν καὶ ἀφειδῶς ἐκώμαζον καὶ δώροις ἐπείρων. ἡ δ', οἶμαι, κομψόν τι ἐς αὐτοὺς ἔχουσα κνίζει τὰ μειράκια καὶ δεῦρο ὑπεξελθοῦσα οἰκεῖ τὴν ἐχυρὰν ταύτην οἰκίαν. σκέψαι γὰρ ὡς ὠχύρωται· κρημνὸς τῇ θαλάττῃ ἐφέστηκε τὰ μὲν κλυζόμενα ὑπωλισθηκώς, τὰ δὲ ἄνω προεκκείμενος ἔφαλόν τινα ταύτην ἀνέχων οἰκίαν, ὑφ' ἧς καὶ ἡ θάλαττα κυανωτέρα φαίνεται καθιεμένων ἐς αὐτὴν τῶν ὀφθαλμῶν, καὶ ἡ γῆ παρέχεται τὰ νεὼς πάντα πλὴν τοῦ κινεῖσθαι. ἐς τοῦτο ἤκουσαν τὸ φρούριον οὐδὲ ὡς ἀπολελοίπασιν αὐτὴν οἱ ἐρῶντες, ἀλλ' ὁ μὲν κυανόπρωρον, ὁ δὲ χρυσόπρωρον, ὁ δὲ ἄλλος ἄλλο τι τῶν ποικίλων ἀκατίων ἐμβεβηκὼς πλεῖ, καὶ ὁ κῶμος αὐτὸς καλοί τε καὶ ἐστεφανωμένοι, καὶ ὁ μὲν αὐλεῖ, ὁ δὲ κροτεῖν φησιν, ὁ δὲ ᾄδει, οἶμαι, στεφάνους δὲ
783 ἀναρριπτοῦσι καὶ φιλήματα, καὶ οὐδὲ ἐρέττουσιν, ἀλλὰ ἐπέχουσι τὴν εἰρεσίαν καὶ ὑφορμίζονται τῷ κρημνῷ. τὸ δὲ γύναιον ἀπὸ τῆς οἰκίας οἷον ἐκ περιωπῆς ὁρᾷ ταῦτα καὶ γελᾷ κατὰ τοῦ κώμου, χλιδῶσα ἐς τοὺς ἐρῶντας ὡς οὐ πλεῖν μόνον, ἀλλὰ καὶ νεῖν ἀναγκάζουσα. καὶ ποίμναις ἐντεύξῃ προχωρῶν καὶ μυκωμένων ἀκούσῃ βοῶν καὶ συρίγγων βοὴ περιηχήσει σε καὶ κυνηγέταις ἐντεύξῃ καὶ γεωργοῖς καὶ ποταμοῖς καὶ λίμναις καὶ πηγαῖς — ἐκμέμακται γὰρ ἡ γραφὴ καὶ τὰ ὄντα καὶ τὰ γιγνόμενα καὶ ὡς ἂν γένοιτο ἔνια, οὐ διὰ πλῆθος αὐτῶν ῥᾳδιουργοῦσα τὴν ἀλήθειαν, ἀλλ' 23
ἐπιτελοῦσα τὸ ἑκάστου οἰκεῖον, ὡς ἂν εἰ καὶ ἕν τι ἔγραφεν — ἓς τ' ἂν ἐφ' Ἱερὸν ἀφικώμεθα. καὶ τὸν ἐκεῖ νεών, οἶμαι, ὁρᾷς, καὶ στήλας, αἳ περίδρυνται αὐτῷ, καὶ τὸν ἐπὶ τῷ στόματι πυρσόν, ὃς ἥρτηται ἐς φρυκτωρίαν τῶν νεῶν, αἳ πλέουσιν ἐκ τοῦ Πόντου.

[ιγ'] „τί οὖν οὐκ ἐπ' ἄλλο ἄγεις; ἱκανῶς γάρ μοι τὰ τοῦ Βοσπόρου διανενόηται." τί φήσεις; λέλοιπέ με τὸ τῶν ἁλιέων, ὃ κατ' ἀρχὰς ἐπηγγειλάμην. ἵν' οὖν μὴ περὶ μικρῶν διεξίοιμεν, ἀλλὰ περὶ ὧν λέγειν ἄξιον, τοὺς μὲν καλάμῳ θηρῶντας ἢ κύρτῳ τεχνάζοντας ἢ εἴ τις ἀνιμᾷ δίκτυον ἢ ἐναράττει τρίαιναν, ἀφέλωμεν τοῦ λόγου, σμικρὰ γὰρ ἀκούσῃ περὶ αὐτῶν καὶ φανεῖταί σοι μᾶλλον ἡδύσματα τῆς γραφῆς, τοὺς δὲ ἐπιχειροῦντας τοῖς θύννοις ἴδωμεν, ἄξιοι γὰρ οὗτοι λόγου διὰ μέ-

1. λιμνάζει κιρρ. f. ib. κηροειδὲς E et γρ. κηροειδὲς p 1761 κηροειδὲς ante corr. in κιροειδὲς. vd. 2. κρυσταλοειδές. vd. ib. διατεινόμενον. λ. 3. τροπαῖς. f, p, vd. ib. τοῦδε. gu. ib. σύμβολα 1, J (ubi ξύμβολα.) ξύμβολον. 2, 3, E. ib. καλὼ et suprasc. αἱ. λ. 4. φοιτῶντ' ἐν et mg. φοιτῶντες. μ. φοιτῶντες. γ. ib. αὐτῷ. i. ib. διδασκαλείῳ προσεκάθισαν. vd. 5. καὶ ἐντεῦθεν p 2955. ib. εἰς τ. θάλασσαν. ρ et E. Sic et 6. 6. ὑποκυμαίνων. l. 7. χορεύει. λ. ib. δι' ὄχλου. λ. ib. τῶν νέων. λ. ib. ἁρπάσασθαι. f, λ, p 2955. ἁρπάσεσθαι. ς. 9. ὀχυρὰν. E. 10. κρυμνὸς. λ. ib. θαλάσσῃ. μ, ρ, β, E. ib. ἀπωλισθηκὼς. φ. ib. ὑπερκείμενος. f. 11. ἔμφαλλον. λ. ἀνέχων. om. m. ib. ἀφ' ἧς. γ, g. ἐφ' ἧς. l. ib. θάλαττα. φ, J. θάλασσα. ς. 13. οὐδὲ om. l. ib. αὐτὴν om. j. ib. ἔρωτες. φ, l et f, ubi mg. ἐρῶντες. ἐρῶτες. gu, suprasc. ν rec. m. ἔροντες. λ. ib. ὁ δὲ πρωρον. (sic) j. ὁ δὲ χρ. om. φ, ρ. 14. καὶ om. f, p, vd, pr. m. ib. ὁ κῶμος. j, p 1698 et br. ex corr. rec. κῶμος. ς. ib. αὐτῇ. f, p. αὐτῆς ante corr. vd. 15. κ. τε καὶ εὐειδεῖς καὶ ἐστεφ. β. ib. κροτεῖ φησιν. C. κροτεῖν φησιν. EJ. 16. ἀλλ' ἐπέχ. ib. ἀπέχουσι. φ. 18. ἔρωτας l et br. in mg. ib. καὶ οὐ. E. 19. προχωρῶν om. p, φ. ib. μωκωμένων. μ, p 1761, 2955, br. f1, f3, f4, l, ρ, γ, g, μηκωμένων. 1, λ, gu. μηκώμενον. ψ. ib. βοῆ. f1. ib. σε om. λ. ib. περιήχησε. ψ. ib. ἐντεύξῃ προχωρῶν. f, φ, et p, ubi προσχωρῶν. 20. λήμναις. l. ib. ἐκμέμακται γὰρ ἡ γραφὴ τὰ γεγηθέντα καὶ τὰ γενόμενα. ν. ib. ἡ γρ. τὰ ὄντα. 2. 21. ῥᾳδιουργοῦσαν. λ. 22. ὡσὰν κἂν εἰ. ψ. ὡσανεὶ κἂν. ς. ὡς κἂν εἰ conj. J. Sc: ὡς ἂν εἰ καὶ. ib. ἔγραψεν. vd. γέγραφεν. i2, m, o. ib. ἱερὸν. EJ. Sc: Ἱερὸν. 23. περίδρυνται. λ. παρίδρυνται. ς. Sc: περιίδρυνται. ib. αὐτῶν. λ. ib. πύργον. vd. 24. ἤρηται. br. ib. ὃς et γρ. ὡς. ib. ἐς φρ f, φ.

XIII. Praefigitur persona ὁ παῖς in vd, μ, br. 3. Ἁλιεῖς. EJ. 25. ἱκανὸς. λ. ib. ante τί φήσεις praefigitur Φιλόστρατος in iisdem libris. 26. τὸ τοῦ Β. φ. ib. λ. με τὸ. 1. λ. μοι τὰ. 2, 3, EJ. ib. κατ' ἀρχὰς. vd. ib. σμικρῶν. 1, J. μικρῶν. ς. ib. διεξίειμεν. λ. 27. θηρῶντας om. j. ib. εἴ τι. φ. 28. σμικρὸν. f. ib. ἀκούσει. f. ib. στεφανεῖται. l. 29. θύνοις. l, γ, g ut infra. τοὺς θύννους. gu. ib. διὰ μέγεθος. 1. διὰ τὸ μέγεθος. 2, 3, EJ.

22, 23. p. 783. l. 13.

γεθος τῆς Θήρας. φοιτῶσιν οἱ θύννοι τῇ ἔξω θαλάττῃ παρὰ τοῦ Πόντου γένεσιν ἐν αὐτῷ σχόντες
καὶ νομὰς τὰς μὲν ἰχθύων, τὰς δὲ ἰλύων καὶ χυμῶν ἑτέρων, οὓς Ἴστρος ἐς αὐτὸν φέρει καὶ Μαι-
ῶτις, ὑφ' ὧν γλυκερώτερος καὶ ποτιμώτερος ἄλλης θαλάττης ὁ Πόντος. νέουσι δὲ οἷον στρατιωτῶν
φάλαγξ ἐπὶ ὀκτὼ καὶ ἐφ' ἑκκαίδεκα καὶ δὶς τόσοι, καὶ ὑποκυματίζουσιν ἀλλήλοις, ἄλλος ἄλλῳ ἐπι- 784
νέοντες, τοσοῦτον βάθος, ὅσον αὐτῶν τὸ εὖρος. ἰδέαι μὲν οὖν, καθ' ἃς ἁλίσκονται, μυρίαι, καὶ 5
24 γὰρ σίδηρόν ἐστιν ἐπ' αὐτοὺς θήξασθαι καὶ φάρμακα ἐπιπάσαι καὶ σμικρὸν ἥρκεσε δίκτυον, ὅτῳ
ἀπόχρη καὶ σμικρόν τι τῆς ἀγέλης, ἀρίστη δὲ ἥδε ἡ Θήρα· σκοπιωρεῖται γάρ τις ἀφ' ὑψηλοῦ του
ξύλου ταχὺς μὲν ἀριθμῆσαι, τὴν δὲ ὄψιν ἱκανός, δεῖ γὰρ αὐτῷ πεπηγέναι μὲν τοὺς ὀφθαλμοὺς ἐς
τὴν θάλατταν, ἐξικνεῖσθαι δὲ πορρωτάτω, κἂν ἐμβάλλοντας τοὺς ἰχθῦς ἴδῃ, βοῆς τε ὡς μεγίστης
δεῖ αὐτῷ πρὸς τοὺς ἐν τοῖς ἀκατίοις, καὶ τὸν ἀριθμὸν λέγει καὶ τὰς μυριάδας αὐτῶν, οἱ δὲ ἀπο- 10
φράξαντες αὐτοὺς βαθεῖ καὶ κλειστῷ δικτύῳ δέχονται λαμπρὰν ἄγραν, ὑφ' ἧς καὶ πλουτεῖν ἕτοι-
μον τῷ τῆς Θήρας ἡγεμόνι. βλέπε πρὸς τὴν γραφὴν ἤδη, κατόψει γὰρ αὐτὰ καὶ δρώμενα· ὁ μὲν
σκοπιωρὸς ἐς τὴν θάλατταν βλέπει διαπέμπων τοὺς ὀφθαλμοὺς ἐς τὴν τοῦ ἀριθμοῦ σύλληψιν, ἐν
γλαυκῷ δὲ τῷ τῆς θαλάττης ἄνθει τὰ τῶν ἰχθύων χρώματα μέλανες μὲν οἱ ἄνω δοκοῦσιν, ἧττον
δὲ οἱ ἐφεξῆς, οἱ δὲ μετ' ἐκείνους ἤδη παραψεύδονται τὴν ὄψιν, εἶτα σκιώδεις, εἶτα ὑδαροί, εἶτα 15
ὑπονοῆσαι, καταβαίνουσα γὰρ ἐς τὸ ὕδωρ ἡ ὄψις ἀμβλύνεται διακριβοῦν τὰ ἐν αὐτῷ. ὁ δὲ τῶν
ἁλιέων δῆμος ἡδεῖς καὶ ξανθοὶ τὴν χρόαν ὑπὸ τοῦ θέρεσθαι καὶ ὁ μὲν τὴν κώπην ζεύγνυσιν, ὁ
δὲ ἐρέττει μάλα διεξῳδηκότι τῷ βραχίονι, ὁ δὲ ἐπικελεύεται τῷ πέλας, ὁ δὲ παίει τὸν μὴ ἐρέττοντα,
βοὴ δὲ ἧρται τῶν ἁλιέων, ἐμπεπτωκότων ἤδη τῶν ἰχθύων ἐς τὸ δίκτυον, καὶ τοὺς μὲν ἠρήκασι,
τοὺς δὲ αἱροῦσιν. ἀμηχανοῦντες δέ, ὅ τι χρήσονται τῷ πλήθει καὶ παρανοίγουσι τοῦ δικτύου καὶ 20
συγχωροῦσιν ἐνίους διαφυγεῖν καὶ διεκπεσεῖν, τοσοῦτον ἐς τὴν Θήραν τρυφῶσιν.

ΣΕΜΕΛΗ.

25 ιδ'. Βροντὴ ἐν εἴδει σκληρῷ καὶ Ἀστραπὴ σέλας ἐκ τῶν ὀφθαλμῶν ἰεῖσα πῦρ τε ῥαγδαῖον
ἐξ οὐρανοῦ τυραννικῆς οἰκίας ἐπειλημμένον, λόγου τοιοῦδε, εἰ μὴ ἀγνοεῖς, ἅπτεται· πυρὸς νεφέλη 785
περισχοῦσα τὰς Θήβας ἐς τὴν τοῦ Κάδμου στέγην ῥήγνυται κωμάσαντος ἐπὶ τὴν Σεμέλην τοῦ
Διός, καὶ ἀπόλλυται μέν, ὡς δοκοῦμεν, ἡ Σεμέλη, τίκτεται δὲ Διόνυσος, οἶμαι, νὴ Δία, πρὸς 25
τὸ πῦρ, καὶ τὸ μὲν τῆς Σεμέλης εἶδος ἀμυδρὸν διεκφαίνεται ἰούσης ἐς οὐρανόν, καὶ αἱ Μοῦσαι
αὐτὴν ἐκεῖ ᾄσονται, ὁ δὲ Διόνυσος τῆς μὲν μητρὸς ἐκθρώσκει ῥαγείσης τὴν γαστέρα, τὸ δὲ
πῦρ ἀχλυῶδες ἐργάζεται φαιδρὸς αὐτός, οἷον ἀστὴρ τις, ἀστράπτων. διασχοῦσα δὲ ἡ φλὸξ ἄντρον
τῷ Διονύσῳ σκιαγραφεῖ παντὸς ἥδιον Ἀσσυρίου τε καὶ Λυδίου, ἕλικές τε γὰρ περὶ αὐτὸ τεθήλασι

1. θαλάττῃ. 1, J. θαλάσσῃ. ς. ib. γέννεσιν. λ. ib. ἐν αὐτῇ. vd. 2. Ἴστρος. C, J. ὁ Ἴστρος. E. ib. ἐν. ψ, εἰς. ς. 3. γλυκύτερος. f, vd. ib. ὁ om. λ. 4. τόσος. vd. 5. τοσοῦτο. br. τοσοῦτον αὐτῷ τὸ β. p 2955. ib. καὶ ᾄς. φ. καθ' οὓς. p. 2955. 6. καὶ σμικρὸν ἥρκεσε – ἀγέλης. v. ib. οὕτω. λ. ib. σμικρόν τι. 1 (v), J. μικρὸν. ς. 7. ἥδε om. br, gu. ib. σκοπιωρεῖται – θάλατταν. v. ib. ὑψηλοῦ του ξ. v. ὑψηλοῦ. ς. 8. μὲν om. gu. ib. ἐς. p, J. εἰς. v, ς. ib. πεπηγμέναι. γ. 9. θάλασσαν. vd, γ, g, gu. ib. ἐξικν. τε. p, φ. ib. ἐμβαλόντας. vd. ib. ἴδοι. 1. 10. δεῖ αὐτῷ. f, p. αὐτῷ δεῖ. 2, 3, EJ. 11. βαθὺ. j. ib. κλειτῷ. v. κλυστῷ. λ. 12. καὶ δρ. λ. 13. θάλασσαν. φ. vd. 14. θαλάσσης suprasc. τ. γ. ib. τὰ δὲ τῶν – ἀμβλύνεται. v. ib. ἅθρει τὰ sive πάντα τὰ velit J. ib. χρώματα. μέλανες disting. J. ib. ἧττονες δ' οἱ. v, f. (δὲ. f.) ἧττον δ' οἱ. vd. 15. ὑδαρεῖς ὑπονοῆσαι. v. 16. γὰρ om. v. ib. διακρυβοῦν. φ. ib. ἐν αὐτῇ. vd. 18. κελεύει. ψ. 19. ἐμπεπτοκότων. λ. 20. παραλίγουσι. ψ. 21. τρυφῶσι. E.

XIV. 22. εἴδη. g. εἴδει et η suprasc. γ. ib. ἀστραπή. E. ib. κατὰ τῶν. o. ib. ἰεῖσα. vd, ε. 23. τυρανικῆς. γ. ib. ἅπτεσθαι. λ. 24. παρασχοῦσα. φ. 25. ὡς δοκουμένη Σεμέλη. φ. ὡς δοκουμένη Σελήνη. vd. ὡς δοκουμένη ἡ Σ. f. ὡς δοκοῦσα λ. ib. ὁ Διόνυσος. m, o. 26. διεκφαίνεται. φ. διαφαίνεται. ς. (f.) ib. ἐς τὸν. μ, EJ. ib. αἱ M. ᾄσονται ἐκεῖ αὐτὴν. λ. ἐς αὐτὴν m, o. 27. ἐκτρώσκει. m, o. ib. τὸ πῦρ. λ. 28. Fo: φαιδρὸν αὐτός. ib. ἀπεστράπτων. f. ib. ἄντρον τι. 1, J. ἄντρον. ς. 29. σκιογραφεῖ. vd. διαγράφει. λ. Ἀσυρίου. ρ et μ ante corr. a, i. ib. ἕλικες – ἄμπελοι. v. ib. ἕλικες γὰρ. γ. ib. τε καὶ περὶ. i, o, m. ib. περὶ αὐτὸ. f, φ, vd, 1 et 2 praeter p 1761 περὶ αὐτῷ. ς.

24, 25. p. 784, 785. 1, 14.

καὶ κιττοῦ κόρυμβοι καὶ ἤδη ἄμπελοι καὶ θύρσου δένδρα οὕτω τι ἐκούσης ἀνασχόντα τῆς γῆς, ὡς κἂν τῷ πυρὶ εἶναι ἔνια. καὶ οὐ χρὴ θαυμάζειν, εἰ στεφανοῖτο πῦρ ἐπὶ τῷ Διονύσῳ ἡ γῆ, ἥ γε καὶ συμβακχεύσει αὐτῷ καὶ οἶνον ἀφύσσειν ἐκ πηγῶν δώσει γάλα τε οἷον ἀπὸ μαζῶν ἕλκειν τὸ μὲν ἐκ βώλου, τὸ δὲ ἐκ πέτρας. ἄκουε τοῦ Πανός, ὡς τὸν Διόνυσον ᾄδειν ἔοικεν ἐν κορυφαῖς τοῦ Κιθαιρῶνος, ὑποσκιρτῶν εὖιον. ὁ Κιθαιρὼν δὲ ὀλοφύρεται ἐν εἴδει ἀνθρώπου τὰ μικρὸν ὕστερον ἐν αὐτῷ ἄχη καὶ κιττοῦ φέρει στέφανον ἀποκλίνοντα τῆς κεφαλῆς, στεφανοῦται γὰρ δὴ αὐτῷ σφόδρα ἄκων, ἐλάτην τε αὐτῷ παραφυτεύει Μέγαιρα καὶ πηγὴν ἀναφαίνει ὕδατος ἐπὶ τῷ Ἀκταίωνος, οἶμαι, καὶ Πενθέως αἵματι.

ΑΡΙΑΔΝΗ.

ιέ. Ὅτι τὴν Ἀριάδνην ὁ Θησεὺς ἄδικα δρῶν — οἱ δ' οὐκ ἀδικά φασιν, ἀλλ' ἐκ Διονύσου — 26
κατέλιπεν ἐν Δίᾳ τῇ νήσῳ καθεύδουσαν, τάχα που καὶ τίτθης διακήκοας, σοφαὶ γὰρ ἐκεῖναι
786 τὰ τοιαῦτα καὶ δακρύουσιν ἐπ' αὐτοῖς, ὅταν ἐθέλωσιν. οὐ μὴν δέομαι λέγειν, Θησέα μὲν εἶναι τὸν ἐν τῇ νηί, Διόνυσον δὲ τὸν ἐν τῇ γῇ, οὐδ' ὡς ἀγνοοῦντα ἐπιστρέφοιμ' ἂν ἐς τὴν ἐπὶ τῶν πετρῶν, ὡς ἐν μαλακῷ κεῖται τῷ ὕπνῳ. οὐδὲ ἀπόχρη τὸν ζωγράφον ἐπαινεῖν, ἀφ' ὧν κἂν ἄλλος ἐπαινοῖτο, ῥᾴδιον γὰρ ἅπαντι καλὴν μὲν τὴν Ἀριάδνην γράφειν, καλὸν δὲ τὸν Θησέα, Διονύσου τε μυρία φάσματα τοῖς γράφειν ἢ πλάττειν βουλομένοις, ὧν κἂν μικροῦ τύχῃ τις, ἥρηκε τὸν θεόν. καὶ γὰρ οἱ κόρυμβοι στέφανος ὄντες Διονύσου γνώρισμα, κἂν τὸ δημιούργημα φαύλως ἔχῃ, καὶ κέρας ὑπεκφυόμενον τῶν κροτάφων, Διόνυσον δηλοῖ καὶ παρδάλις ὑπεκφαινομένη αὖ τοῦ θεοῦ σύμβολον. ἀλλ' οὗτός γε ὁ Διόνυσος ἐκ μόνου τοῦ ἐρᾶν γέγραπται· σκευὴ μὲν γὰρ ἠνθισμένη καὶ θύρσοι καὶ νεβρίδες, ἔρριπται ταῦτα ὡς ἔξω τοῦ καιροῦ, καὶ οὐδὲ κυμβάλοις αἱ βάκχαι χρῶνται
νῦν, οὐδὲ οἱ σάτυροι αὐλοῦσιν, ἀλλὰ καὶ ὁ Πὰν κατέχει τὸ σκίρτημα, ὡς μὴ διαλύσειε τὸν ὕπνον τῆς κόρης, ἁλουργίδι τε στείλας ἑαυτὸν καὶ τὴν κεφαλὴν ῥόδοις ἀνθίσας ἔρχεται παρὰ τὴν Ἀριάδνην ὁ Διόνυσος, μεθύων ἔρωτι, φησὶν [περὶ τῶν ἀκρατῶς ἐρώντων] ὁ Τήιος· ὁ Θησεὺς δὲ ἐρᾷ μέν, ἀλλὰ τοῦ τῶν Ἀθηνῶν καπνοῦ, Ἀριάδνην δὲ οὔτε οἶδεν ἔτι, οὔτε ἔγνω ποτέ, φημὶ δ' αὐτὸν ἐκλελῆσθαι καὶ τοῦ Λαβυρίνθου, καὶ μηδὲ εἰπεῖν ἔχειν, ἐφ' ὅτῳ ποτὲ ἐς τὴν Κρήτην ἔπλευσεν, 27
οὕτω μόνον τὰ ἐκ πρῴρας βλέπει. ὅρα καὶ τὴν Ἀριάδνην, μᾶλλον δὲ τὸν ὕπνον· γυμνὰ μὲν ἐς ὀμφαλὸν τὰ στέρνα ταῦτα, δέρη δὲ ὑπτία καὶ ἁπαλὴ φάρυγξ, μασχάλη δὲ ἡ δεξιὰ φανερὰ πᾶσα,
787 ἡ δὲ ἑτέρα χεὶρ ἐπίκειται τῇ χλαίνῃ, μὴ αἰσχύνῃ τι ὁ ἄνεμος. οἷον, ὦ Διόνυσε, καὶ ὡς ἡδὺ τὸ ἄσθμα. εἰ δὲ μήλων ἢ βοτρύων ἀπόζει, φιλήσας ἐρεῖς.

1. κόρυβοι. v. ib. οὕτω τι. f, φ, λ, J. οὕτω τοι. ς. ib. ἐκούσης om. br. add. rec. m. 2. κἂν. J. καὶ. ς. ib. ἐστεφανοῦτο. λ. εἰ στεφανοῖ τὸ. ς. Sc: εἰ στεφανοῖτο. 3. συμβακχεύει. l. ib. ἀναφύσει. λ. ib. ἐκ πηγῶν. 1, λ, γ, g, ψ, J. ἐκ τῶν πηγῶν. ς. ib. οἶνον ἀπὸ. γ. 4. ἐν κορυφαῖς. 1. ἐν τοῖς κ. 2, 3, EJ. 5. ὑποσκιρτῶντα. f. ὑποκιρτῶν. λ. ib. ὕστερον αὐτῷ. l. 6. ἄχθη. f. ib. ἀποκλίναντα. l. 7. ἐλάτην αὐτῷ. 2. ib. πηγὴν οἶμαι. vd, nec deest ibi verbum ante καὶ Πενθέως. ib. ἀναφαίνει ὕδατος. om. λ.

XV. 9. ὅτε. vd. ib τὴν Ἀριάδνην — καθεύδουσαν. v. ib. οἶδ'. μ, E. 10. ἐν Δίῳ. f. ib. διακήκοας. f, p, J. ἀκήκοας. vd, φ, 2, 3, E. ib. γὰρ om. 2. (br. add. rec. m.) 12. οὐδαμῶς. λ. ib. τῶν πετρῶν. om. λ. 13. οὐδὲ — ἐπαινοῖτο. v. ib. οὐδὲ. v et br. οὐδ'. ς. ib. ἄλλο. v. 14. καλὸν — γράφειν om. f. 15. πλ. βουλομένοις. f et p ante corr. πλ. δυναμένοις. ς. ib. τύχοι. l. 16. ἔχοι. 1. 17. Διόννσος. i, m. ib. αὐτοῦ. f. 19. νευρίδες. br, γ, g. ib. ἔρριπται. φ. 20. Πᾶν. λ. 21. ἀλλουργ. f, p, λ. ib. τε στείλας. f, p. δὲ στείλας. ς. (δὲ om. p 2955.) ib. ἐφάνη τὴν κεφαλὴν ῥόδοις ἀνθίσας. Aristaenet. II, 19, p. 185 ed. B. ib. ῥόδων. φ. ib. ἀνθήσας. f, p. ἀερθίσας. gu. ib. ἔρχεται — Τήιος. v. ib. περὶ. f, vd. 22. ἔρωτι. 1, J. μ. τῷ ἔρωτι. 2, 3, E. ib. μεθύων ἔρωτι. μεθύων ἔρωτί φησι περὶ τῶν ἀκρατῶς ἐρώντων ὁ Τήιος. Verba π. τ. ἀκρ. ἐρ. inclusi ut glossema. καὶ φησι. vd. ib. ὁ Τήιος. 1, (v) γ, g, gu, ψ, J. Τήιος. 2, β, E. ib. ὁ ante Θησεὺς om. φ. ib. δὲ om. λ. 23. πόποτε. λ. ib. ἐκλελ. ὑπὸ τοῦ Λ. 2. 24. καὶ ante μηδὲ om. l, o. ib. τὴν om. ψ. ib. πρώτης f, vd, φ et p, ubi πρώτης. 25. ἐς ὀμφ. om. φ. ἐς ὀμφαλοῦ. p 2955. ib. τὰ στέρνα. 2, β. στέρνα. ς. 26. δέρη ὑπτία. λ, p 2955. 28. φιλῆσαι. f.

26, 27. p. 786, 787. l. 15.

ΠΑΣΙΦΑΗ.

ις'. Ἡ Πασιφάη τοῦ ταύρου ἐρᾷ καὶ ἱκετεύει τὸν Δαίδαλον σοφίσασθαί τινα πειθὼ τοῦ θηρίου, ὁ δὲ ἐργάζεται βοῦν κοίλην παραπλησίαν ἀγελαίᾳ βοὶ τοῦ ταύρου ἐθάδι. καὶ ἥτις μὲν ἡ εὐνὴ σφῶν ἐγένετο, δηλοῖ τὸ τοῦ Μινωταύρου εἶδος, ἀτόπως συντελεσθὲν τῇ φύσει, γέγραπται δὲ οὐχ ἡ εὐνὴ νῦν, ἀλλ' ἐργαστήριον μὲν τοῦτο πεποίηται τῷ Δαιδάλῳ, περιέστηκε δὲ αὐτὸν ἀγαλματα τὰ μὲν ἐν μορφαῖς, τὰ δὲ ἐν τῷ διορθοῦσθαι, διαβεβηκότα ἤδη καὶ ἐν ἐπαγγελίᾳ τοῦ βαδίζειν, τοῦτο δὲ ἄρα ἡ πρὸ Δαιδάλου ἀγαλματοποιία οὕπω ἐς νοῦν ἐβέβλητο. αὐτὸς δὲ ὁ Δαίδαλος ἀττικίζει μὲν καὶ τὸ εἶδος ὑπέρσοφόν τι καὶ ἔννουν βλέπων, ἀττικίζει δὲ καὶ αὐτὸ τὸ σχῆμα, φαιὸν γὰρ τρίβωνα τοῦτον ἀμπέχεται προσγεγραμμένης αὐτῷ καὶ ἀνυποδησίας, ᾗ μάλιστα δὴ οἱ Ἀττικοὶ κοσμοῦνται. κάθηται δὲ ἐφ' ἁρμονίᾳ τῆς βοὸς καὶ τοὺς ἔρωτας ξυνεργοὺς ποιεῖται τοῦ μηχανήματος, ὡς Ἀφροδίτης τι αὐτῷ ἐπιδεῖν. ἐναργεῖς μὲν τῶν ἐρώτων καὶ οἱ τὸ τρύπανον, ὦ παῖ, στρέφοντες, καί, νὴ Δί', οἱ τῷ σκεπάρνῳ λεαίνοντες τὰ μήπω ἠκριβωμένα τῆς βοὸς καὶ οἱ σταθμώμενοι τὴν ξυμμετρίαν, ἐφ' ᾗς ἡ δημιουργία βαίνει, οἱ δὲ ἐπὶ τοῦ πρίονος ἔννοιάν τε ὑπερβεβλήκασι πᾶσαν καὶ σοφίαν, ὁπόση χειρός τε καὶ χρωμάτων. σκόπει γάρ· πρίων ἐμβέβληται τῷ ξύλῳ καὶ διῆκται αὐτοῦ ἤδη, διάγουσι δὲ αὐτὸν οὗτοι οἱ ἔρωτες ὁ μὲν ἐκ τῆς γῆς, ὁ δ' ἀπὸ μηχανῆς ὀρθουμένω τε καὶ προνεύοντε. τουτὶ δὲ ἐναλλὰξ ἡγώμεθα, ὁ μὲν γὰρ νένευκεν ὡς ἀναστησόμενος, ὁ δὲ ἀνέστηκεν ὡς νεύσων, καὶ ὁ μὲν ἀπὸ τῆς γῆς ἐπὶ τὸ στέρνον ἀναπέμπει τὸ ἆσθμα, ὁ δ' ἀπὸ τοῦ μετεώρου καὶ τὴν γαστέρα πίμπλαται κάτω συνερείδων τῷ χεῖρε. ἡ Πασιφάη δὲ ἔξω περὶ τὰ βουκόλια περιαθρεῖ τὸν ταῦρον, οἰομένη προσάξεσθαι αὐτὸν τῷ εἴδει καὶ τῇ στολῇ θεῖόν τε ἀπολαμπούσῃ καὶ ὑπὲρ πᾶσαν ἶριν, βλέπει τε ἀμήχανον, καὶ γὰρ γιγνώσκει, ὁποίων ἐρᾷ, καὶ περιβάλλειν τὸ θηρίον ὥρμηκεν, ὁ δὲ τῆς μὲν οὐδὲν ξυνίησι, βλέπει δὲ τὴν ἑαυτοῦ βοῦν. γέγραπται δὲ ὁ μὲν ταῦρος ἀγέρωχός τε καὶ ἡγεμὼν τῆς ἀγέλης, εὔκερώς τε καὶ λευκὸς καὶ βεβηκὼς καὶ βαθὺς τὴν φάρυγγα καὶ πίων τὸν αὐχένα καὶ ἱλαρὸν βλέπων ἐς τὴν βοῦν, ἡ δὲ ἀγελαία τε καὶ ἄνετος καὶ λευκὴ πᾶσα ἐπὶ μελαίνῃ τῇ κεφαλῇ, ἀπαξιοῖ δὲ τὸν ταῦρον, σκίρτημα γὰρ ὑποφαίνει κόρης δή τινος ὑποφευγούσης ἐραστοῦ ὕβριν.

ΙΠΠΟΔΑΜΕΙΑ.

ιζ'. Ἡ μὲν ἔκπληξις ἐπ' Οἰνομάῳ πῷ Ἀρκάδι, οἱ δὲ ἐπ' αὐτῷ βοῶντες, ἀκούεις γάρ που, ἥ τε Ἀρκαδία ἐστὶ καὶ ὁπόσον ἐκ τῆς Πελοποννήσου. πέπτωκε δὲ συντριβὲν τὸ ἅρμα τέχνῃ Μυρ-

XVI. 1. *τινα τοῦ θηρίου πειθώ.* ψ et gu (ubi *πειθῶ.*) 2. *μὲν* om. vd. 3. *ἡ εὐνὴ σφῶν.* 1 (φ om. *ἡ.*) *σφῶν ἡ εὐνή.* 2, 3, EJ. ib. *Μινωταύρου.* λ, J. *Μινοταύρου* (*μηνοταύρου.* gu.) ς. ib. *συντιθὲν.* f et p, ubi *γρ. συντελεσθὲν.* 4. *νῦν* om. 2. ib. *τοῦ Δαιδάλου.* vd. ib. *περιέστη.* p, vd. *δὲ αὐτὸν.* l. *δὲ αὐτῷ.* f, vd, p, μ, br, β, γ, λ. *δὲ αὐτὸ.* φ, p 1761, g, gu. *δ' αὐτὸ.* E. 5. *βεβηκότα.* f, p. ib. *καὶ* om. λ. *ἀπαγγελίᾳ.* i, m, o. 6. *τοῦτο.* f, vd. *τοῦ τὸ.* p. *τουτὶ.* ς. ib. *ἐς.* p. ib. *ἐμβέβλητο.* φ. 7. *αὐτὸ σχῆμα.* 1. 8. *προγεγρ.* φ. ib. *μάλ. δεῖ.* λ. 9. *δ' ἐφ' ἁ.* vd. ib. *καὶ — μηχανήματος* om. λ. 10. *τι αὐτῷ δεῖν ἐπειδὴ.* f. *τι αὐτῶν· ἐπειδὴ.* φ. *τι αὐτῷ ἐπειδὴ.* corr. sec. m. *ἐπειδεῖν.* vd. An: *τι αὐτῷ ἐπιδέον? αὐτὸ.* λ. ib. *ἐνεργεῖ σοι.* λ. ib. *ἐρώντων.* φ, λ. ib. *τρύπ. αὐτῷ στρ.* vd. 11. *νὴ Δί' οἱ.* f. *νὴ Δία, οἱ.* ς. 12. *ὥσπερ οἱ ἄριστοι τῶν ἀγαλματοποιῶν σταθμῶνται τὴν συμμετρίαν, ἐφ' ᾗς ἡ δημιουργία διαβαίνει.* Isid. Pel. p. 615, 2. ib. *ἐφ' οἷς.* f. 13. *χρωματίων.* f. *χρομάτων.* gu. ib. *πρίων ἐμβ. τῷ ξύλῳ.* 1. *τῷ ξ. πρ. ἐμβ.* ς. ib. *τοῦ ξύλου*, suprasc. term. dativi. p. ib. *διῆκει.* 1. *διῆκται.* 2, 3, EJ. 14. *αὐτῷ ἤδη.* f. ib. *ἀπὸ μετεώρου.* o. ib. *τῆς* om. p. ib. *ὀρθούμενοι — προνεύοντες.* λ, p 2955. 15. *προσνεύοντε.* f, p. l. *προνεύοντι.* vd. ib. *ἐναλὰξ.* φ. ib. *ἡγούμεθα.* f, vd, p. 17. *συνερείδων.* 1. *ξυνερείδων.* ς. ib. *τὸ χεῖρε.* λ, m, o. ib. *δὲ* om. φ. 18. *προσάξεσθαι.* 1, λ, γ, ψ, J. *προσάξασθαι.* l, j, gu, g, β. *προσάξαι.* 2, ρ, E. ib. *αὐτὸν* om. J. ib. *θεῖόν τι* malit J. 19. *βλέπει δὲ.* J. ib. *ὁποῖον.* λ. ib. *γιγνώσκει τε.* g. 20. *ὥρμησεν.* E. ib. *οὐδὲν* om. j, ψ, p 2955. ib. *τῆς ὁδοῦ.* l. 21. *εὔκερος.* λ. ib. *λεπτὸς.* vd. ib. *βεβηκὼς ἤδη.* f, p. ib. *τὸν φαρ.* vd. 23. *ἀπαξιοῖ τε.* 2.

XVII. *Ἱπποδάμεια* C, praeter μ, br: *Οἰνόμαος* et γ, g: *Πέλοψ. Πέλοψ ἢ Ἱπποδάμεια.* EJ. 25. *Ἀρκαδία ἐστί.* 1, J. *Ἀρκαδία.* 2, 3, E. 26. *τῆς* om. l. ib. *τὸ* om. p 2955.

28. 788. 1, 16, 17.

τίλου, τὸ δὲ ἵππων σύγκειται τεττάρων, τουτὶ γὰρ ἐς μὲν τὰ πολεμικὰ οὔπω ἐθαρσεῖτο, οἱ δὲ ἀγῶ- 29
νες ἐγίγνωσκόν τε αὐτὸ καὶ ἐτίμων, καὶ οἱ Λυδοὶ δὲ φιλιππότατοι ὄντες ἐπὶ μὲν Πέλοπος τέ-
789 θριπποί τε ἦσαν καὶ ἤδη ἁρματῖται, μετὰ ταῦτα δὲ τετραρρύμου τε ἥψαντο καὶ λέγονται πρῶτοι
τοὺς ὀκτὼ σχεῖν. ὅρα, παῖ, τοὺς μὲν τοῦ Οἰνομάου, ὡς δεινοί τέ εἰσι καὶ σφοδροὶ ὁρμῆσαι λύτ-
της τε καὶ ἀφροῦ μεστοί, τουτὶ δὲ περὶ τοὺς Ἀρκάδας εὕροις ἂν μάλιστα, καὶ ὡς μέλανες, ἐπειδὴ
ἐπ' ἀτόποις καὶ οὐκ εὐφήμοις ἐξεύγνυντο, τοὺς δὲ τοῦ Πέλοπος, ὡς λευκοί τέ εἰσι καὶ τῇ ἡνίᾳ
πρόσφοροι πειθοῦς τε ἑταῖροι καὶ χρεμετίζοντες ἥμερόν τι καὶ εὐξύνετον τῆς νίκης, τόν τε Οἰνό-
μαον, ὡς ἴσα καὶ Διομήδης ὁ Θρᾷξ βάρβαρός τε κεῖται καὶ ὠμὸς τὸ εἶδος. οἶμαι δὲ οὐδὲ τῷ Πέ-
λοπι ἀπιστήσεις, ὡς Ποσειδῶν ποτε αὐτὸν ἠγάσθη τῆς ὥρας οἰνοχοοῦντα ἐν Σιπύλῳ τοῖς θεοῖς
καὶ ἀγασθεὶς ἀνέθηκεν ἐς τουτὶ τὸ ἅρμα μειράκιόν γε ἤδη ὄντα. τὸ δὲ ἅρμα ἴσα τῇ γῇ τὴν θά-
λατταν διαστείχει, καὶ οὐδὲ ῥανὶς ἀπ' αὐτῆς πηδᾷ ἐς τὸν ἄξονα, βεβαία δὲ καὶ τῇ γῇ ἐοικυῖα ὑπόκειται τοῖς ἵπποις. τὸν μὲν οὖν δρόμον ὁ Πέλοψ τε καὶ ἡ Ἱπποδάμεια νικῶσιν ἐφεστηκότε ἄμφω τῷ ἅρματι κἀκεῖ συζυγέντε, ἀλλήλων δὲ οὕτως ἤττησθον, ὡς ἐν ὁρμῇ τοῦ περιβάλλειν εἶναι. ἔσταλται δὲ ὁ μὲν τὸν Λύδιόν τε καὶ τὸν ἁβρὸν τρόπον ἡλικίαν τε καὶ ὥραν ἄγων, ἣν καὶ μικρῷ πρό-
σθεν εἶδες, ὅτε τοὺς ἵππους τὸν Ποσειδῶνα ἐξήτει, ἡ δ' ἔσταλται τὸν γαμικὸν τρόπον ἄρτι τὴν παρειὰν ἀνακαλύπτουσα, ὅτε ἐς ἀνδρὸς ἥκειν νενίκηται. πηδᾷ καὶ Ἀλφειὸς ἐκ τῆς δίνης κυτίνου τινὰ ἐξαίρων στέφανον τῷ Πέλοπι προσελαύνοντι τῇ ὄχθῃ. τὰ δὲ ἐν τῷ ἱπποδρόμῳ σήματα οἱ μνηστῆρες ἐκεῖ ἐθάπτοντο, οὓς ἀποκτείνων ὁ Οἰνόμαος ἀνεβάλλετο τὸν τῆς θυγατρὸς γάμον ἐπὶ 30
τρισκαίδεκα ἤδη νέοις. ἀλλὰ ἡ γῆ νῦν ἄνθη φύει περὶ τοῖς σήμασιν, ὡς μετέχοιέν τι κἀκεῖνοι τοῦ
στεφανοῦσθαι δοκεῖν ἐπὶ τῇ τοῦ Οἰνομάου δίκῃ.

ΒΑΚΧΑΙ.

790 ιή. Γέγραπται μέν, ὦ παῖ, καὶ τὰ ἐν τῷ Κιθαιρῶνι, βακχῶν χοροὶ καὶ ὕποινοι πέτραι καὶ
νέκταρ ἐκ βοτρύων καὶ ὡς γάλακτι τὴν βῶλον ἡ γῆ λιπαίνει, καὶ ἰδού, κιττὸς ἕρπει καὶ ὄφεις
ὀρθοὶ καὶ θύρσοι καὶ δένδρα, οἶμαι, μέλι στάζοντα. καὶ ἥδε σοι ἡ ἐλάτη χαμαὶ γυναικῶν ἔρ-
γον ἐκ Διονύσου μέγα, πέπτωκε δὲ τὸν Πενθέα ἀποσεισαμένη ταῖς βάκχαις ἐν εἴδει λέοντος, αἱ
δὲ καὶ ξαίνουσι τὸ θήραμα μήτηρ ἐκείνη καὶ ἀδελφαὶ μητρὸς αἱ μὲν ἀπορρηγνῦσαι τὰς χεῖρας,
ἡ δὲ ἐπισπῶσα τὸν υἱὸν τῆς χαίτης. εἴποις δ' ἄν, ὡς καὶ ἀλαλάζουσιν, οὕτως εὔιον αὐταῖς τὸ ἆσθμα.
Διόνυσος δὲ αὐτὸς μὲν ἐν περιωπῇ τούτων ἕστηκεν ἐμπλήσας τὴν παρειὰν χόλου, τὸν δὲ οἶστρον
προσβακχεύσας ταῖς γυναιξίν· οὔτε ὁρῶσι γοῦν τὰ δρώμενα καὶ ὁπόσα ἱκετεύει ὁ Πενθεύς, λέοντος
ἀκούειν φασὶ βρυχωμένου. ταυτὶ μὲν τὰ ἐν τῷ ὄρει, τὰ δὲ ἐγγὺς ταῦτα, Θῆβαι ἤδη καὶ Κάδμου στέγη

1. σύγκειται. l, ψ. ξυγκ. ς. ib. τεσσάρων. vd. ib. θαρσεῖται. vd. ib. ἀγῶνες om. γ, g, p 2955. 2. αὐτὸν. λ. ib. τε ὄντες. gu. Πέλοπι. vd. 3. Fo: ἤδη καὶ. ib. μετὰ ταῦτα δὲ. 1. μετὰ δὲ ταῦτα. 2, 3, EJ. ib. τετραρύμου. 1. τεθραρρύμου. m, o. ib. λέγεται. 1. ib. ἓν τοὺς. vd. ubi sec. m. πρῶτοι. 5. ἂν om. 1. 6. λευκός τε. g. ib. τὴν ἡνίαν. gu. ib. πειθοῦς δὲ J, nescio unde. 8. ἴσα. vd. ib. βάρβαρός τε. f, J. βάρβαρος. ς. 9. οἰνοχοῦντα. br. corr. rec. m. 10. ἀγασθεὶς om. λ. ib. τε ἤδη. f, ψ. ib. ἴσα. vd. ib. θάλατταν. f. θάλασσαν. ς. 11. ἀπ' αὐτῆς. p, vd. ἐπ' αὐτῆς. f. ἐξ αὐτῆς. ς. ib. δὲ τῇ. 1. 12. ἡ om. br. 13. οὗτοι. 1. ib. ἔσταλται — τρόπον. v. 14. τε om. l. ib. καὶ τὸν ἁβρὸν. v, f, vd. καὶ ἁβρὸν. ς. ib. ἣν καὶ μικρῷ. f, J. καὶ μικρῷ. p. ἣν μικρῷ. 2, 3, E. 15. ὅτι. br. ὁπότε. λ. ib. τὸν Ποσειδῶνα. 1, μ, β, J. τῷ Ποσειδῶνι. λ. τὸν Ποσειδῶ. ς. ib. ἐξήτει. J conj. ἐζήτει. ς. ib. ἅρτον. p 2955. 16. ἐς τὸν. γ, g, J. ib. νενίκηται. λ. νενίκηκε. ς. 18. τὰ δὲ — ἐθάπτοντο. v. 19. τρισκαίδεκα. 1, λ, ψ, p 1760, 2955, J. τρὶς καὶ δέκα. γ. τρικαίδεκα. g. τρεισκαίδεκα. gu, ρ. τρεῖς καὶ δέκα. μ, br, p 1761, β, E. ib. νέους. 2, o. ib. περὶ. f. παρὰ. ς. ib. ὥστε br, ubi τε del. sec. m. 20. δοκεῖν del. vd. sec. m. ib. τῇ om. J. ib. δίκῃ. 1. νίκῃ. 2, 3, EJ.

XVIII. *Βάκχαι.* f, p, vd, matr. p 1760, 1761, 2562, ρ. *Πενθεὺς. Βάκχαι.* l. *Πενθεὺς.* ς. 21. ἐν Κιθαιρ. p 2955. 22. τὸν βῶλον. f, 2. (p 2955.) 23. θύρσοι καὶ δένδρα 2 praeter p 2955 et p 1760 (ubi om. καὶ θύρσοι καὶ.) Idem conj. Heyne Op. V, 62. ib. στάζοντα. p 2955. ib. ἥδε σοι ἡ ἐλ. f, μ, p 1761. ἡδέ σοι ἐλ. p 2955. ἡδύ σοι ἐλ. p 1760. ἡ om. ς. 25. ἀπορηγνῦσαι p. ἀπορρηγνύσαι. f. 12. ἀπορυγνῦσαι. br, λ. ἀπορρηγνοῦσαι. o. 26. καὶ ὡς. f. ib. ἀλλάζουσιν. g. ἀλαλάξουσιν. p 2955. ib. εὔνον. br. 27. δὲ om. p 2955. ib. περιοπῇ. p, λ. ib. τὸ δὲ. λ. ib. ἱστρὸν. λ. 28. ἱκετεύει Πενθεὺς. vd. 29. φησί. f. ib. Θῆβαι ἤδη. 1. ἤδη Θῆβαι. 2, 3, EJ. (ἤδη om. p 1761.)

29, 30. p. 789, 790. l, 18.

καὶ θρῆνος ἐπὶ τῇ ἄγρᾳ καὶ συναρμόττουσιν οἱ προσήκοντες τὸν νεκρόν, εἴ πη σωθείη τῷ τάφῳ. πρόκειται καὶ ἡ κεφαλὴ τοῦ Πενθέως οὐκέτι ἀμφίβολος, ἀλλ᾽ οἷα καὶ τῷ Διονύσῳ ἐλεεῖν, νεωτάτη 791
καὶ ἁπαλὴ τὴν γένυν καὶ πυρσὴ τὰς κόμας, ἃς οὔτε κιττὸς ἥρεψεν οὔτε σμίλακος ἢ ἀμπέλου κλῆμα
31 οὔτε αὐλὸς ἔσεισέ τις οὔτε οἶστρος. ἐρρώννυτο μὲν ὑπ᾽ αὐτῶν, καὶ ἐρρώννυεν αὐτάς, ἐμαίνετο δὲ αὐτὸ τὸ μὴ μετὰ Διονύσου μαίνεσθαι. ἐλεεινὰ καὶ τὰ τῶν γυναικῶν ἠγώμεθα, οἷα μὲν γὰρ ἐν τῷ Κιθαιρῶνι ἠγνόησαν, οἷα δὲ ἐνταῦθα γιγνώσκουσιν! ἀπολέλοιπε δὲ αὐτὰς οὐχ ἡ μανία μόνον, ἀλλὰ καὶ ἡ ῥώμη, καθ᾽ ἣν ἐβάκχευσαν. κατὰ μὲν γὰρ τὸν Κιθαιρῶνα ὁρᾷς, ὡς μεσταὶ τοῦ ἄθλου φέρονται συνεξαίρουσαι τὴν ἠχὼ τοῦ ὄρους, ἐνταῦθα δὲ καθίστανται καὶ ἐς νοῦν τῶν βεβακχευμένων ἥκουσιν, ἰξάνουσαί τε κατὰ τῆς γῆς τῆς μὲν ἐς γόνατα ἡ κεφαλὴ βρίθει, τῆς δὲ ἐς ὦμον, ἡ δ᾽ Ἀγανὴ περιβάλλειν μὲν τὸν υἱὸν ὥρμηκε, θιγεῖν δὲ ὀκνεῖ. προσμέμικται δ᾽ αὐτῇ τὸ τοῦ παιδὸς αἷμα τὸ μὲν ἐς χεῖρας, τὸ δὲ ἐς παρειάν, τὸ δὲ ἐς τὰ γυμνὰ τοῦ μαζοῦ. ἡ δὲ Ἁρμονία καὶ ὁ Κάδμος εἰσὶ μέν, ἀλλ᾽ οὐχ οἷοί περ ἦσαν, δράκοντε γὰρ ἤδη ἐκ μηρῶν γίγνονται, καὶ φολὶς ἤδη αὐτοὺς ἔχει, φροῦδοι πόδες, φροῦδοι γλουτοί, καὶ ἡ μεταβολὴ τοῦ εἴδους ἕρπει ἄνω. οἱ δὲ ἐκπλήττονται καὶ περιβάλλουσιν ἀλλήλους, οἷον ξυνέχοντες τὰ λοιπὰ τοῦ σώματος, ὡς ἐκεῖνα γοῦν αὐτοὺς μὴ φύγῃ.

ΤΥΡΡΗΝΟΙ.

ιθ΄. Ναῦς Θεωρὶς καὶ ναῦς ληστρική. τὴν μὲν Διόνυσος εὐθύνει, τὴν δ᾽ ἐμβεβήκασι Τυρρηνοὶ λῃσταὶ τῆς περὶ αὐτοὺς θαλάττης. ἡ μὲν δὴ ἱερὰ ναῦς βακχεύει ἐν αὐτῇ ὁ Διόνυσος καὶ ἐπιρροθοῦσιν αἱ βάκχαι, ἁρμονία δέ, ὁπόση ὀργιάζει, κατηχεῖ τῆς θαλάττης, ἡ δὲ ὑπέχει τῷ Διο-
32 νύσῳ τὰ ἑαυτῆς νῶτα, καθάπερ ἡ Λυδῶν γῆ, ἡ δὲ ἑτέρα ναῦς μαίνονται καὶ τῆς εἰρεσίας ἐκλαν- 792
θάνονται, πολλοῖς δὲ αὐτῶν καὶ ἀπολώλασιν ἤδη αἱ χεῖρες. τίς ἡ γραφή; τὸν Διόνυσον, ὦ παῖ, λοχῶσι Τυρρηνοὶ λόγου ἐς αὐτοὺς ἥκοντος, ὡς θῆλύς τε εἴη καὶ ἀγύρτης καὶ χρυσοῦς τὴν ναῦν ὑπὸ τοῦ ἐν αὐτῇ πλούτου γύναιά τε αὐτῷ ὁμαρτοίη Λύδια καὶ σάτυροι καὶ αὐληταὶ καὶ ναρθηκοφόρος γέρων καὶ οἶνος Μαρώνειος καὶ αὐτὸς ὁ Μάρων, καὶ Πᾶνας αὐτῷ ξυμπλεῖν ἀκούοντες ἐν εἴδει τράγων αὐτοὶ μὲν ἄξεσθαι τὰς βάκχας, αἶγας δὲ ἀνήσειν ἐκείνοις, ἃς ἡ Τυρσηνῶν γῆ βόσκει. ἡ μὲν οὖν ληστρικὴ ναῦς τὸν μάχιμον πλεῖ τρόπον, ἐπωτίσι τε γὰρ κατεσκεύασται καὶ ἐμβόλῳ καὶ σιδηραῖ αὐτῇ χεῖρες καὶ αἰχμαὶ καὶ δρέπανα ἐπὶ δοράτων, ὡς ἐκπλήττοι τοὺς ἐντυγχάνοντας καὶ θηρίον τι αὐτοῖς ἐκφαίνοιτο, γλαυκοῖς μὲν γέγραπται χρώμασι, βλοσυροῖς δὲ κατὰ πρῳ-

1. καὶ Θρ. — ἄγρᾳ om. γ, g. ib. ἀγορᾷ. m. ib. εἴ ποι συνθείη. vd. 2. προσκεῖται. f. πρόσκειται. p, vd. ib. καὶ ἡ — ἐλεεῖν. v. ib. Πενθέος. λ. ib. οὐκέτι. v, p 2955. οὐκέτ᾽. ς. ib. οἷα. μ. ib. Διονύσως. p 2955. ib. ἐλεῖν. p. ἐλθεῖν. p 2955. 3. πυρσῇ. μ. ib. ἔρριψεν. br. corr. mg. ἔρεψεν. μ. ἔρρεψεν. p 2955. 4. ἐρρώννυτο. br. Ante hoc verbum aliquid excidisse suspicatur J. ib. μὲν. 1, J. γὰρ. 2, 3, E. ib. ἐπ᾽ αὐτῶν. m, o. ib. ἐμαίνετο — μαίνεσθαι. v. 5. αὐτῷ τῷ. μ. αὐτῷ τὸ cett. 2. (p 2955.) ib. ἐλεεῖν. p 2955. ib. τοὺς. λ. ib. καὶ ἠγώμεθα. γ, g. 7. κατὰ μὲν τὸν. 2. τὰ μὲν τὸν. j. μετὰ corr. sec. m. μεσταὶ. vd. 8. συνεξαίρουσι. l. ib. ἦχῶ. g. ib. παρίστανται. f, φ, vd. ἀνθίστανται. μ. 9. ἰξάνουσι. f, p, non φ. ib. τὴν μὲν. φ. ib. τὰ γόνατα. λ. 10. ἡδεῖα γυνὴ. vd, corr. sec. m. Ἀγαύη. J. ib. θίγειν. EJ. 11. ἐς χέρας. f. εἰς χεῖρας. φ. ib. τὴν παρειὰν. vd. ib. γυμνὰν. gu. 12. δράκοντε. λ. δράκοντες. ς. ib. μηρῶν. λ. μειρῶν. gu. μηρῶν. conj. J. μοιρῶν. ς. ib. γίνονται. λ. γίγνονται. φ. 15. Malim φύγοι.

ΧΙΧ. Τυρρηνοὶ EJ et C praeter μ: ναῦς θεωρὶς καὶ ναῦς ληστρική. γ, g: Διόνυσος ἢ Τυρρηνοί. 16. τὸν μὲν. φ. ib. δὲ βεβήκασιν. μ et br, (ubi corr. rec. m.) p 2955. 17. περὶ αὐτόν. vd. 18. θαλάττης. f, p, φ, J. θαλάσσης. ς. ib. ὁ Διόνυσος om. λ. ib. ἁρμονία — θαλάττης. v. ib. θαλάττης. f, p, v, φ, λ, p 2955. J. θαλάσσης. ς. 19. ἡ ἑτέρα δὲ. φ. 20. αὐτῶν ἀπολωλ. f, p. ib. Ante τίς ἡ γρ. praefigitur in vd, l, γ, gu. ὁ παῖς, ante τὸν Διόνυσον in γ: Φιλόστρατος, in g: ὁ διδάσκαλος. 21. Τυρρηνικοί. λ. ib. λόγον. gu. ib. χρυσοῦν καὶ τὴν. br. 22. πλούτου, Λύδιά τε αὐτῷ ὁμ. καὶ σατ. vd. 23. Πᾶνα. f. ib. συμπλεῖν. br, p 1761. 24. ἄξασθαι. γ. ib. ἀνήσει. gu. ἀνήσεις. λ. 25. ἡ μὲν — τρόπου. v. ib. τε om. f. ib. γὰρ om. 2. ib. ἐμβόλοις. vd. 26. ὡς. C. (ὡς ἴν᾽ ἐκπλ. vd.) E. καὶ ὡς conj. J. malim ὡς δ᾽ aut καὶ ἵν᾽ ἑ. ib. ἐκπλήττει. br. ἐκπλήττῃ. μ, vd. 27. ἐμφαίνοιτο. μ, p 1761. ib. βλοσυροῖς. φ, γ, g, β.

31, 32. p. 791, 792. l, 19.

793 ραν ὀφθαλμοῖς οἷον βλέπει, λεπτὴ δὲ ἡ πρύμνα καὶ μηνοειδής, καθάπερ τὰ τελευτῶντα τῶν ἰχθύων, ἡ δὲ τοῦ Διονύσου ναῦς τὰ μὲν ἄλλα πέτρᾳ μοι δοκεῖ διεικάσθαι, φολιδωτὴ δὲ ὁρᾶται τὰ ἐς πρύμναν κυμβάλων αὐτῇ παραλλὰξ ἐνηρμοσμένων, ἵν', εἰ καὶ σάτυροί ποτε ὑπὸ οἴνου καθεύδοιεν, ὁ Διόνυσος μὴ ἀψοφητὶ πλέοι, τὴν δὲ πρῷραν ἐς χρυσῆν πάρδαλιν εἴκασταί τε καὶ ἐξῆκται. φιλία δὲ τῷ Διονύσῳ πρὸς τὸ ζῷον, ἐπειδὴ θερμότατον τῶν ζῴων ἐστὶ καὶ πηδᾷ κοῦφα καὶ ἴσα εὐάδι. ὁρᾷς γοῦν καὶ αὐτὸ τὸ θηρίον συμπλεούσας τῷ Διονύσῳ καὶ πηδώσας ἐπὶ τοὺς Τυρρηνοὺς μήπω κελεύοντος; θύρσος δὲ οὑτοσὶ ἐκ μέσης νεὼς ἐκπέφυκε τὰ τοῦ ἱστοῦ πράσσων, καὶ ἱστία μεθῆπται ἁλουργῆ μεταυγάζοντα ἐν τῷ κόλπῳ, χρυσαῖ δὲ ἐνύφανται βάκχαι ἐν Τμώλῳ καὶ Διονύσου τὰ ἐν Λυδίᾳ. κατηρεφῆ δὲ τὴν ναῦν ἀμπέλῳ καὶ κιττῷ φαίνεσθαι καὶ βότρυς ὑπὲρ αὐτῆς αἰωρεῖσθαι, 33
10 θαῦμα μέν, θαυμασιωτέρα δὲ ἡ πηγὴ τοῦ οἴνου, ὡς κοίλη αὐτὸν ἡ ναῦς ἐκδίδοται καὶ ἀντλεῖται. ἀλλ' ἐπὶ τοὺς Τυρρηνοὺς ἴωμεν, ἕως εἰσίν· ὁ γὰρ Διόνυσος αὐτοὺς ἐκμήνας ἐντρέχουσι τοῖς Τυρρηνοῖς ἰδέαι δελφίνων οὔπω ἐθάδων, οὐδὲ ἐγχωρίων τῇ θαλάττῃ, καὶ τῷ μὲν τὰ πλευρὰ κυάνεα, τῷ δ' ὀλι-
794 σθηρὰ τὰ στέρνα, τῷ δ' ἐκφύεται λοφιὰ παρὰ τῷ μεταφρένῳ, ὁ δὲ ἐκδίδωσι τὰ οὐραῖα, καὶ τῷ μὲν ἡ κεφαλὴ φρούδη, τῷ δὲ λοιπή, τῷ δ' ἡ χεὶρ ὑγρά, ὁ δ' ὑπὲρ τῶν ποδῶν ἀπιόντων βοᾷ.
15 ὁ δὲ Διόνυσος ἐκ πρῴρας γελᾷ ταῦτα καὶ κελεύει τοῖς Τυρρηνοῖς τὰ μὲν εἴδη ἰχθύσιν ἐξ ἀνθρώπων, τὰ δὲ ἤθη χρηστοῖς ἐκ φαύλων. ὀχήσεται γοῦν μικρὸν ὕστερον Παλαίμων ἐπὶ δελφῖνος οὐδὲ ἐγρηγορὼς οὗτος, ἀλλ' ὕπτιος ἐπ' αὐτοῦ καθεύδων, καὶ Ἀρίων δὲ ὁ ἐπὶ Ταινάρῳ δηλοῖ τοὺς δελφῖνας ἑταίρους τε εἶναι ἀνθρώποις καὶ ᾠδῆς φίλους καὶ οἵους παρατάξασθαι πρὸς ληστὰς ὑπὲρ ἀνθρώπων καὶ μουσικῆς.

ΣΑΤΥΡΟΙ.

20 κ'. Κελαιναὶ μὲν τὸ χωρίον, ὅσον αἱ πηγαὶ καὶ τὸ ἄντρον, ἐκποδὼν δὲ ὁ Μαρσύας ἢ ποιμαίνων ἢ μετὰ τὴν ἔριν. μὴ ἐπαίνει τὸ ὕδωρ· καὶ γὰρ εἰ πότιμόν τε καὶ γαληνὸν γέγραπται, ποτιμωτέρῳ ἐντεύξῃ τῷ Ὀλύμπῳ. καθεύδει δὲ μετὰ τὴν αὔλησιν. ἁβρὸς ἐν ἁβροῖς ἄνθεσι συγκεραννὺς τὸν ἱδρῶτα τῇ τοῦ λειμῶνος δρόσῳ, καὶ ὁ ζέφυρος ἐκκαλεῖ αὐτὸν προσπνέων τῇ κόμῃ, ὁ δὲ ἀντιπνεῖ τῷ ἀνέμῳ ἕλκων τὸ ἀπὸ τοῦ στέρνου ἄσθμα, κάλαμοί τε αὐλοῦντες ἤδη παράκεινται τῷ 34
25 Ὀλύμπῳ καὶ σιδήρια ἔτι, οἷς ἐπιθρύπτονται οἱ αὐλοί. ἐρῶντες δὲ αὐτοῦ σατύρων τις ἀγέλη καταθεῶνται τὸ μειράκιον ἐρυθροὶ καὶ σεσηρότες, ὁ μὲν τοῦ στέρνου θιγεῖν δεόμενος, ὁ δὲ ἐμφῦναι τῇ δέρῃ, ὁ δὲ σπάσαι τι ἐπιθυμῶν φίλημα, ἄνθη τε ἐπιπάττουσι καὶ προσκυνοῦσιν ὡς ἄγαλμα,

1. πρύμνη. br. ib. μονοειδὴς. vd. 2. τοῦ om. br, vd. ib. τῷ μὲν. l. ib. δοκεῖ διείκασται. l. Sc. δοκεῖ διεικάσθαι, non, ut o, δοκεῖν διείκασται. διείκασται. ς. ib. φολιδωτή. f, p. φολιδωτός. φ, 2, 3, EJ. ib. τὰς εἰς. br. 3. ἐς πρῴραν. 1, 3, E. ἐς τὴν πρῴραν 2 praeter p 1760, 2955. ἐς πρύμναν. conj. J. ib. κυμβάλλων. g. ib. αὐτῇ om. m. ib. ἐνηρησμένων. j. ἠρμοσμένων. E. ib. εἰ σάτυροί τε λ. ib. ἀπὸ οἴνου. l. ib. καθεύδειεν. λ. 4. πλέῃ. 2, γ, g. 5. τὸ om. br. ib. ξῷον ἐστὶν. vd. ib. καὶ π. κούφα om. λ. ib. ἴσα. vd. ib. ὁρᾷς οὖν. vd. 6. τὸ om. f. ib. συμπλεούσας — πηδώσας. f, p, vd. συμπλέον — πηδῶν. φ, 2, 3, EJ. 7. οὑτωσί. λ. οὑτοσίν. E. ib. Deleverim ἐκ. ib. ἐκπέφυκε. 1, J. πέφυκε. 2, 3, E. ib. τὰ om. λ. 8. ἐν Τμώλῳ. f, vd, φ. ἐν τῷ Τμώλῳ. ς. 9. τὴν νῦν. l. ib. βότρυς δ' ὑπὲρ — οἴνου. v. ib. ὑπὲρ τῆς νεώς. v. 10. αὐτὸ. j. αὐτῶν. γ, g. αὐτῷ. ρ. ib. ἐνδίδοται. λ. ib. ἀλλὰ ἐπὶ τ. m, o. 11. Τυρσηνούς. f. Τυρρηνικούς. p 1761. ib. ἰδέα. vd. 12. Θαλάττῃ. h, J. 13. μεταφρένῳ. gu. ib. οὐρέα. h. 14. τῷ δὲ χεὶρ. γ, g. 15. An ἐγκελεύει? ib. μὲν ἤδη. λ. 16. οὖν. br, γ, g. ib. οὐδ'. l. 17. ὑπ' αὐτοῦ. f, λ. ἐπ' αὐτῷ. vd, j. αὐτοῦ. l. ib. καὶ om. p. ib. ὁ Ἀρ. p. καὶ ὁ Ἀρ. vd. ib. δὲ ἐπὶ. 2. ib. ἐπὶ Ταινάρῳ. φ. ἐπὶ τῷ T. ς. 18. εἶναι om. vd. ib. ἀνθρώποις. 1. τοῖς ἀνθρώποις. ς. ib. ὑπὸ ἀνθρ. γ.

XX. Κελαιναὶ Σάτυροι. γ, g. 20. Κελέναι. l. ib. ἐππηδᾷ δὲ. vd. ib. Μαρσίας. br, g, h. ib. καὶ ποιμαίνων. f. ib. ποιμένων. λ. 21. μὴ ἐπαίνει — Ὀλύμπῳ. v. ib. πότιμόν τε. v. ib. πότιμον. ς. ib. γαληνὸν γρ. καλὸν. p 1761. ib. ποτιμώτερος ἐντεύξεται Ὀλυμπίῳ. v. 22. καὶ ᾠδαὶ δὲ. 1, J. ᾠδαὶ δὲ. 2, 3, E. Sc. καθεύδει δὲ. In h adscriptum margini ἴσως ὅδε. ib. καὶ ἐν ἁβροῖς. h, E. 23. χειμῶνος. C, e, m. λειμῶνος. o, J. 24. ἀναπνεῖ τοῦ ἀνέμου. C, EJ. (τοῦ αἵματος. p 1761.) ἀντιπνεῖ τῷ ἀνέμῳ conj. J. ib. τοῦ αἵματος. p 1761. 25. οἱ ἐπιθρ. γ. ib. ἐπιτροπῶνται velit B. 26. τοῖν στέρνοιν. gu. 27. σπᾶσαι. E.

33, 34. p. 793, 794. I, 20.

ὁ σοφώτατος δὲ αὐτῶν ἔτι θερμοῦ θατέρου τοῦ αὐλοῦ τὴν γλῶτταν ἀνασπάσας ἐσθίει καὶ τὸν Ὄλυμπον οὕτω φιλεῖν οἴεται, φησὶ δὲ καὶ ἀπογεύσασθαι τοῦ πνεύματος.

ΟΛΥΜΠΟΣ.

κα'. Τίνι αὐλεῖς, Ὄλυμπε; τί δὲ ἔργον μουσικῆς ἐν ἐρημίᾳ; οὐ ποιμήν σοι πάρεστιν, οὐκ αἰπόλος, οὐδὲ νύμφαις αὐλεῖς, αἳ καλῶς ἂν ὑπωρχήσαντο τῷ αὐλῷ, μαθὼν δὲ οὐκ οἶδ' ὅ τι χαίρεις τῷ ἐπὶ τῇ πέτρᾳ ὕδατι καὶ βλέπεις ἐπ' αὐτό. τί μετέχων αὐτοῦ; καὶ γὰρ οὔτε κελαρύζει σοι [καὶ] πρὸς τὸν αὐλὸν [ὑποέσται] οὔτε διαμετροῦμέν σοι τὴν ἡμέραν, οἵ γε βουλοίμεθα ἂν καὶ ἐς νύκτας ἀποτεῖναι τὸ αὔλημα. εἰ δὲ τὸ κάλλος ἀνακρίνεις, τοῦ ὕδατος ἀμέλει, ἡμεῖς γὰρ ἱκανώτεροι λέξαι τὰ ἐν σοὶ ἅπαντα· τὸ μὲν ὄμμά σοι χαροπόν, πολλὰ δὲ αὐτοῦ πρὸς τὸν αὐλὸν τὰ κέντρα, ὀφρὺς δὲ αὐτῷ περιβέβληται διασημαίνουσα τὸν νοῦν τῶν αὐλημάτων, ἡ παρειὰ δὲ πάλλεσθαι δοκεῖ καὶ οἷον ὑπορχεῖσθαι τῷ μέλει, τὸ πνεῦμα δὲ οὐδὲν ἐπαίρει τοῦ προσώπου ὑπὸ τοῦ ἐν τῷ αὐλῷ εἶναι, ἡ κόμη τε οὐκ ἀργὴ οὔτε κεῖται καθάπερ ἐν ἀστικῷ μειρακίῳ λιπῶσα, ἀλλ' ἐγήγερται μὲν ὑπὸ τοῦ αὐχμοῦ, παρέχεται δὲ αὐχμηρὸν οὐδὲν ἐν ὀξείᾳ καὶ χλωρᾷ τῇ πίτυι. καλὸς γὰρ ὁ στέφανος καὶ δεινὸς ἐπιπρέψαι τοῖς ἐν ὥρᾳ, τὰ δὲ ἄνθη παρθένοις ἀναφυέσθω καὶ γυναίοις ἔρευθος ἑαυτὰ ἐργαζέσθω. φημί σοι καὶ τὰ στέρνα οὐ πνεύματος ἔμπλεα εἶναι μόνον, ἀλλὰ καὶ ἐννοίας μουσικῆς καὶ διασκέψεως τῶν αὐλημάτων. μέχρι τούτων σε τὸ ὕδωρ γράφει κατακύπτοντα ἐς αὐτὸ ἀπὸ τῆς πέτρας, εἰ δὲ ἑστηκότα ἔγραφεν, οὐκ ἂν εὐσχήμονα τὰ ὑπὸ τῷ στέρνῳ ἔδειξεν, ἐπιπόλαιοι γὰρ αἱ μιμήσεις τῶν ὑδάτων ὑπὸ τοῦ συνιζάνειν ἐν αὐτοῖς τὰ μήκη. τὸ δὲ καὶ κλύζεσθαί σοι τὴν σκιὰν ἔστω μὲν καὶ παρὰ τοῦ αὐλοῦ τὴν πηγὴν καταπνέοντος, ἔστω δὲ καὶ παρὰ τοῦ ζεφύρου ταῦτα πάντα, δι' ὃν καὶ σὺ ἐν τῷ αὐλεῖν καὶ ὁ αὐλὸς ἐν τῷ πνεῖν καὶ ἡ πηγὴ ἐν τῷ καταυλεῖσθαι. 795

ΜΙΔΑΣ.

κβ'. Καθεύδει ὁ σάτυρος, καὶ ὑφειμένῃ τῇ φωνῇ περὶ αὐτοῦ λέγωμεν, μὴ ἐξεγείρηται καὶ διαλύσῃ τὰ ὁρώμενα. Μίδας αὐτὸν οἴνῳ τεθήρακεν ἐν Φρυγίᾳ περὶ αὐτά, ὡς ὁρᾷς, τὰ ὄρη, τὴν κρήνην οἰνοχοήσας, ἐν ᾗ κεῖται παραβλύζων τοῦ οἴνου ἐν τῷ ὕπνῳ. σατύρων δὲ ἡδὺ μὲν τὸ σφοδρόν, ὅτε ὀρχοῦνται, ἡδὺ δὲ τὸ βωμολόχον, ὅτε μειδιῶσι, καὶ ἐρῶσιν οἱ γενναῖοι καὶ ὑποποιοῦνται τὰς Λυδὰς αἰκάλλοντες αὐτὰς τέχνῃ. κἀκεῖνο αὐτῶν ἔτι· σκληροὶ γράφονται καὶ ἄκρατοι τὸ 796

1. ὁ σοφ. δὲ αὐτῶν om. vd. ib. τοῦ αὐτοῦ. λ. ib. τήν τε. λ. ib. γλῶτταν. 1, μ, br. γλῶσσαν. ς. 2. δὲ ἀπογ. r.

XXI. 3. τίν' αὐλεῖς. vd. ib. οὐ καὶ πόλος. gu. 4. ὑποχωρήσαντο. φ. ὑπωρχήσαιντο. γ. ἀπωρχήσ. ϱ pr. m. ib. μαθὼν f et p ante corr. παθὼν. ς. ib. οἶδα. f, p. ib. χαίροις. φ. 5. τῇ om. gu. ib. Fo: ἐς αὐτό. ib. αὐτῷ. j. ib. τί — αὐτοῦ om. br. ib. κελαρίζει. μ, E. ib. σοι om. gu. 6. ὑποέσται. l, EJ. ὕπο ἔσται sive ὑπο ἔσται. C. In p, β est gl. ὑπήκοον ἔσται. Legerim καὶ γὰρ οὔτε κελαρύζει σοι πρὸς τὸν αὐλὸν om. gl. ὑποἔσται h. e. ὑπήκοον ἔσται et καὶ ante πρὸς, quod adhibitum glossae annectendae. ib. οὔπω διαμ. γ. ib. εἴ γε. p 1761. ib. βουλοίμεθα ἄν. φ, μ, γ, g, gu. βουλοίμεθ' ἄν. ς. ib. Requiritur ἐς νύκτα σε ἀποτεῖναι. 7. καλὸς. gu. 8. ὄμμασι χαρόποις. r. ὁ. χαροπολὸν. br. χαρωπὸν. p. ib. ὀφρῦς. E. 11. τε γὰρ. β. ib. ἐν om. λ. ib. ἀστικῷ. l. ἀστυκῷ. ς. 12. καλὸς — ἀναφυέσθω. v. καλὸς δὲ — ταῖς ὥραις (Boiss. ὡραίαις.) Aristaenet. I, 3, p. 18 ed. B. 13. δεινοὶ. ψ. ib. ἐπιπρέψαι. 1, j, l, λ, γ ex corr. et emend. Huet. o, J. ἐπιτρέψαι. ϱ, gu, v, e, m, Arist. ib. τοὺς. gu. ib. ἀφείσθω. v. ἀναφαινέσθω vd. ante corr. 14. ἔμπλεω. h, E. ib. εἶναι ἔμπλ. j. 15. κατακρύπτοντα. λ. 16. ἔγραψεν. vd. ib. ἐπιπόλαιοι — μήκη. v. 17. ἐμμιμήσεις. λ. ib. ἀπὸ τοῦ. f, vd. ib. ἐν αὐταῖς. l. ib. μήκει. λ. ib. τὸ δὲ καὶ κλύζεσθαι. 1. καὶ om. ς. ib. σοι om. j. 18. ἔστω — καταυλεῖσθαι. v. ib. ζεφύρου. f et p, (ubi γρ. ζωγράφου.) J. ζωγράφου. vd, φ, v, l, 2, 3, E. 19. δι' ὃν σὺ. λ.

XXII. 20. Respicit huc Aristaenet. I, 3, p. 17 ed. B. ib. περὶ αὐτοῦ λέγωμεν. 1. (χρώμεθα. vd.) λέγωμεν περὶ αὐτοῦ. 2, 3, EJ. 21. Μιδ. δὲ. br. ib. τεθάρρηκεν. p, f. ib. ἐν Φρ. ἐλεῖν. f. ib. περὶ αὐτὴν. λ, γ, g, gu. 22. παρανλίζων. λ. 23. ὅτι ὀρχ. vd. ib. ὅτι μ. vd. ib. μειδειῶσι. br. 24. αἰκάλλοντες αὐτὰς. 1, J. αἰκάλλοντες. 2, 3, E. ib. ἐστί. v. ib. σκληροὶ — ὦτα om. gu, ψ.

35. p. 795, 796. 1, 21, 22.

αἷμα καὶ περιττοὶ τὰ ὦτα καὶ κοῖλοι τὸ ἰσχίον, ἀγέρωχοι πάντα καὶ τὸ ἐπὶ τὰ οὐραῖα ἵπποι. τὸ δὲ θήραμα τοῦ Μίδου τοῦτο γέγραπται μὲν ὅσα ἐκεῖνοι, καθεύδει δὲ ὑπὸ τοῦ οἴνου τὸ ἆσθμα ἕλκων ὡς ἐκ μέθης, καὶ ἡ μὲν κρήνη πέποται αὐτῷ ῥᾳον ἢ ἑτέρῳ κύλιξ, αἱ δὲ νύμφαι χορεύουσι τωθάζουσαι τὸν σάτυρον ἐπὶ τῷ καθεύδειν. ὡς ἄβρὸς ὁ Μίδας, ὡς δὲ ῥᾴθυμος! μίτρας ἐπιμελεῖται καὶ βοστρύχου καὶ θύρσον φέρει καὶ στολὴν ἔγχρυσον. ἰδοὺ καὶ ὦτα μεγάλα, ὑφ' ὧν ἡδεῖς οἱ ὀφθαλμοὶ δοκοῦντες ὑπνηλοὶ φαίνονται καὶ μεθέλκουσι τὴν ἡδονὴν ἐς τὸ νωθρὸν αἰνιττομένης σπουδῇ τῆς γραφῆς ἐκμεμηνῦσθαι ταῦτ' ἤδη καὶ διαδεδόσθαι τοῖς ἀνθρώποις ἐν καλάμῳ, μὴ κατασχούσης τῆς γῆς ἃ ἤκουσεν. 36

ΝΑΡΚΙΣΣΟΣ

κγ'. Ἡ μὲν πηγὴ γράφει τὸν Νάρκισσον, ἡ δὲ γραφὴ τὴν πηγὴν καὶ τὰ τοῦ Ναρκίσσου πάντα. μειράκιον ἄρτι θήρας ἀπηλλαγμένον πηγῇ ἐφέστηκεν ἕλκον τινὰ ἐξ αὐτοῦ ἵμερον καὶ ἐρῶν τῆς ἑαυτοῦ ὥρας, ἀστράπτει δέ, ὡς ὁρᾷς, ἐς τὸ ὕδωρ. τὸ μὲν οὖν ἄντρον Ἀχελῴου καὶ νυμφῶν, γέγραπται δὲ τὰ εἰκότα, φαύλου τε γὰρ τέχνης τὰ ἀγάλματα καὶ λίθου ἐντεῦθεν, καὶ τὰ μὲν περιτέτριπται ὑπὸ τοῦ χρόνου, τὰ δὲ βουκόλων ἢ ποιμένων παῖδες περιέκοψαν ἔτι νήπιοι καὶ ἀναίσθητοι τοῦ θεοῦ, καὶ οὐδὲ ἀβάκχευτος ἡ πηγὴ τοῦ Διονύσου οἷον ἀναφήναντος αὐτὴν ταῖς ληναῖς· ἀμπέλῳ γοῦν καὶ κιττῷ ἧρεπται καὶ ἕλιξι καλαῖς καὶ βοτρύων μετέσχηκεν, ὅθεν οἱ θύρσοι, κωμάζουσί τε ἐπ' αὐτῇ σοφοὶ ὄρνιθες, ὡς ἑκάστου ἁρμονία, καὶ ἄνθη λευκὰ τῇ πηγῇ παραπέφυκεν οὔπω ὄντα, ἀλλ' ἐπὶ τῷ μειρακίῳ φυόμενα. τιμῶσα δὲ ἡ γραφὴ τὴν ἀλήθειαν καὶ δρόσου τι λείβει ἀπὸ τῶν ἀνθέων, οἷς καὶ μέλιττα ἐφιζάνει τις, οὐκ οἶδα εἴτ' ἐξαπατηθεῖσα ὑπὸ τῆς γραφῆς, εἴτε ἡμᾶς ἐξηπατῆσθαι χρὴ εἶναι αὐτήν. ἀλλ' ἔστω. σὲ μέντοι, μειράκιον, οὐ γραφή τις ἐξηπάτησεν, οὐδὲ χρώμασιν ἢ κηρῷ προστέτηκας, ἀλλ' ἐκτυπῶσάν σε τὸ ὕδωρ, οἷον εἶδες αὐτό, οὐκ οἶσθα, οὔτε τὸ τῆς πηγῆς ἐλέγχεις σόφισμα, νεῦσαι δέον καὶ παρατρέψαι τοῦ εἴδους καὶ τὴν χεῖρα ὑποκινῆσαι καὶ μὴ ἐπὶ ταὐτοῦ ἑστάναι, σὺ δ', ὥσπερ ἑταίρῳ ἐντυχὼν τἀκεῖθεν περιμένεις. εἰτά σοι ἡ πηγὴ μύθῳ χρήσεται; οὗτος μὲν οὖν οὔτ' ἐπαίει τι ἡμῶν, ἀλλ' ἐμπέπτωκεν ἐπὶ τὸ ὕδωρ αὐτοῖς ὠσὶ καὶ αὐτοῖς ὄμμασιν, αὐτὸ δὲ ἡμεῖς, ὥσπερ γέγραπται, λέγωμεν. ὀρθὸν ἀναπαύεται ἐναλλάξαν τῷ πόδε τὸ μειράκιον καὶ [τὴν χεῖρα] ὑπέχον πεπηγότι τῷ ἀκοντίῳ ἐν ἀριστερᾷ, ἡ δεξιὰ δὲ πε- 37 39

1. καὶ περιττοὶ. 1, J. περιττοὶ. 2, 3. E. ib. τῇ οὐραίᾳ. 1. τὸ οὐραῖα. gu. 3. κίλιξ. br. ib. ὁ δὲ νύμφαι. vd. 4. τὴν σάτυρον. φ. ib. ὡς ἄβρὸς — βοστρύχου. v. ib. ὡς ῥᾴθυμος. v. 7. ἐκμεμηνῦσθαι. EJ. ib. διαδίδοσθαι. br. ib. μὴ om. f, φ, et vd. pr. m.

XXII. 9. ἡ δὲ γραφὴ. f, p, J, Aristaenet. II, 10, 158 ed. B. ubi legitur ἡ μὲν γὰρ πηγὴ γράφει τὸν Νάρκισσον, ἡ δὲ γραφὴ καὶ τὴν πηγὴν καὶ τὸν Νάρκισσον οἷον διψῶντα τοῦ κάλλους. (vid. finem hujus imaginis.) ἡ γραφὴ δὲ. φ, 2, 3, E. ib. τὴν πηγὴν. f, p. καὶ τὴν πηγὴν. 2, 3, EJ. ib. τὰ Νάρκίσσου. l, j. 10. θύρας. gu. ib. ἐξ αὐτοῦ. μ, p 1761. ἐξ αὐτοῦ. ς. 11. τῆς ἑαυτοῦ. 1, J. τῆς αὐτοῦ. 2, (αὐτοῦ. μ.) 3, E. ib. ἐς. φ. 12. φαύλης. j. φαυ-
η
λους. br. sic. rec. corr. ib. ἄγαλμα. gu. ib. Fo: τοῦ ἐντεῦθεν. 13. καὶ ποιμένων. λ, p 1761. ποιμαίνων. ε, m. ib. παῖδας. gu. 14. θεοῦ· οὐδὲ. 2. ib. ἀναφήσαντος. γ. ib. ληναῖς. l, o, J. ληνοῖς. ς. 15. οὖν. φ. ib. κατέσχηκεν. λ. ib. ἕλιξ. λ. 16. κωμάζουσι — ἁρμονία. v. ib. ἐπ' αὐτῆς. 2. ib. περιπέφυκεν. f. 17. τιμῶσα — ἀνθέων. v. ib. τὸ λείβειν. v. τι om. vd. 18. οἶδα. 1. οἶδ'. ς. 19. ἠπατῆσθαι. j. ἐξαπατεῖσθαι. E unde ἐξαπατᾶσθαι Huet. ἐξαπατῆσθαι. p 1761. ib. αὐτήν· εἶτα σὲ μὲν. 2. ib. ἐστὼ. gu. ib. σὲ μὲν τὸ μ. C. (praeter γ, ubi σὲ μὲν, ὦ μειράκιον et g, ubi σὲ μὲν τὸ suprasc. ὦ.) EJ. Sc: σὲ μέντοι, μειράκιον. 20. ἐκτυπῶσάν με τὸ ὕδωρ. j, λ. ib. εἶδος. γ, g. 21. ἐλέγχεις. f, p, J. ἐλέγχει. φ et vd. ante corr. ἐλέγχειν. vd. corr. 2, 3, E. ib. νεῦσαι δὲ. 1. (vd. pr. m.) νεῦσαι τε. vd, sec. m. 2, 3, EJ. Sc: νεῦσαι δέον. ib. περιτρέψαι. vd. pr. m. 22. σὺ — χρήσεται. v. ib. σὺ δὲ. 2. ib. ἐντυχὼν ἑταίρῳ. v. ib. τακεῖ. f. ib. εἴ τι σοι. J. 23. οὔτε πλέι. λ. Fo: οὐδ' ib. ὑμῶν. br. ib. ἐμπέπτωκεν om. v. ἐπιπέπτωκεν. γ, g. 24. αὐτὸ δὲ ἡμεῖς. f, p. An αὐτοὶ δὲ ἡμεῖς? ἡμεῖς δὲ αὐτὸ. φ, vd, 2, 3, EJ. (αὐτὰ. j.) ib. ἐναλλάξαν. 1, 3. ἐναλλὰξ. 2, EJ. 25. τὸ μειράκιον ἐναλλάξαν. vd. ib. τὸ μειράκιον om. 2, 3, E. ib. ὑπέχον. 2, l, j, p 1698. h, γ, g, gu, ε. ὑπέχων. λ, ρ, p 2561. ἐπέχον. 1, m, o, J. Verba τὴν χεῖρα uncis inclusi. ib. ἡ δεξιὰ δὲ. 1. ἡ δὲ δεξιὰ. 2, 3, EJ. (ἡ δεξιὰ. λ, g.)

36, 37. p. 797. l, 23.

ριῆκται ἐς τὸ ἰσχίον ἀνασχεῖν τε αὐτὸν καὶ σχῆμα πράττειν ἐκκειμένων τῶν γλουτῶν διὰ τὴν τῶν ἀριστερῶν ἔκκλισιν. δεικνύει δὲ ἡ χεὶρ ἀέρα μέν, καθ' ὃ κυρτοῦται ὁ ἀγκών, ῥυτίδα δὲ καθ' ὃ στρεβλοῦται ὁ καρπὸς καὶ σκιὰν παρέχεται συνιζάνουσα ἐς τὸ θέναρ, λοξαὶ δ' αἱ ἀκτῖνες τῆς σκιᾶς 798
διὰ τὴν ἔσω ἐπιστροφὴν τῶν δακτύλων. τὸ δὲ ἐν τῷ στέρνῳ ἄσθμα οὐκ οἶδα εἴτε κυνηγετικὸν ἔτι, εἴτε ἤδη ἐρωτικόν· τό γε μὴν ὄμμα ἱκανῶς ἐρῶντος, τὸ γὰρ χαροπὸν αὐτοῦ καὶ γοργὸν ἐκ φύσεως πραύνει τις ἐφιζάνων ἵμερος, δοκεῖ δ' ἴσως καὶ ἀντερᾶσθαι, βλεπούσης αὐτὸν τῆς σκιᾶς, ὡς παρ' αὐτοῦ ὁρᾶται. πολλὰ καὶ περὶ τῆς κόμης ἐλέχθη ἄν, εἰ θηρῶντι αὐτῷ ἐνετύχομεν, μυρίαι γὰρ αὐτῆς αἱ κινήσεις ἐν τῷ δρόμῳ, καὶ μᾶλλον, ἐπειδὰν ὑπὸ ἀνέμου τινὸς ἔμπνους γένηται, τύχοι
38 δ' ἂν καὶ νῦν λόγου· ἀμφιλαφοῦς γὰρ οὔσης αὐτῆς καὶ οἷον χρυσῆς τὸ μὲν οἱ τένοντες ἐφέλκονται, τὸ δ' ὑπὸ τῶν ὤτων κρίνεται, τὸ δὲ τῷ μετώπῳ ἐπισαλεύει, τὸ δὲ τῇ ὑπήνῃ ἐπιρρεῖ. ἴσοι τε ἄμφω οἱ Νάρκισσοι τὸ εἶδος ἴσον ἐμφαίνοντες ἀλλήλων, πλὴν ὅσον ὁ μὲν ἔκκειται τοῦ ἀέρος, ὁ δὲ τὴν πηγὴν ὑποδέδυκεν. ἐφέστηκε γὰρ τὸ μειράκιον ὕδατι ἑστῶτι, μᾶλλον δὲ ἀτενίζοντι ἐς αὐτὸ καὶ οἷον διψῶντι τοῦ κάλλους.

ΤΑΚΙΝΘΟΣ.

κδ'. Ἀνάγνωθι τὴν ὑάκινθον, γέγραπται γάρ, καί φησιν ἀναφῦναι τῆς γῆς ἐπὶ μειρακίῳ καλῷ, καὶ θρηνεῖ αὐτὸ ἅμα τῷ ἥρι, γένεσιν, οἶμαι, παρ' αὐτοῦ λαβοῦσα, ὅτε ἀπέθανε, καὶ μή σε λειμὼν ἀναβάλῃ τοῦτο, καὶ γὰρ ἐνταῦθα ἐκπέφυκεν, ὁποία τῆς γῆς ἀνέσχε. λέγει δὲ ἡ γραφὴ καὶ ὑακινθίνην εἶναι τῷ μειρακίῳ τὴν κόμην, καὶ τὸ αἷμα ἔμβιον τῇ γῇ πινόμενον ἐς οἰκεῖόν τι χρῶσαι τὸ ἄνθος. ῥεῖ δὲ ἀπ' αὐτῆς τῆς κεφαλῆς, ἐμπεπτωκότος αὐτῇ τοῦ δίσκου. δεινὴ μὲν ἡ διαμαρτία καὶ οὐδὲ πιστὴ λέγεσθαι κατὰ τοῦ Ἀπόλλωνος, ἐπεὶ δὲ οὐ σοφισταὶ τῶν μύθων ἥκομεν, οὐδὲ ἀπιστεῖν ἕτοιμοι, θεαταὶ δὲ μόνον τῶν γεγραμμένων, ἐξετάσωμεν τὴν γραφήν, καὶ πρῶτόν γε τὴν βαλβῖδα τοῦ δίσκου. βαλβὶς διακέχωσται μικρὰ καὶ ἀποχρῶσα ἐνὶ ἑστῶτι, ἢ δὴ τὸ κατόπιν 799
καὶ τὸ δεξιὸν σκέλος ἀνέχουσα πρανῆ τὰ ἔμπροσθεν ἐργάζεται καὶ κουφίζουσα θάτερον τοῖν σκελοῖν, ὃ χρὴ συναναπάλλεσθαι καὶ συμπορεύεσθαι τῇ δεξιᾷ. τὸ δὲ σχῆμα τοῦ δίσκου ἀνέχοντος
39 ἐξαλλάξαντα τὴν κεφαλὴν ἐπὶ δεξιὰ χρὴ κυρτοῦσθαι τοσοῦτον, ὅσον ὑποβλέψαι τὰ πλευρὰ καὶ ῥιπτεῖν, οἷον ἀνιμῶντα καὶ προσεμβάλλοντα τοῖς δεξιοῖς πᾶσι. καὶ ὁ Ἀπόλλων οὕτω πως ἐδίσκευσεν, οὐ γὰρ ἂν ἄλλως ἀφῆκεν, ἐμπεσὼν δὲ ὁ δίσκος ἐς τὸ μειράκιον τὸ μὲν κεῖται ἐπ' αὐτοῦ γε τοῦ δίσκου — Λακωνικὸν τὸ μειράκιον καὶ τὴν κνήμην ὀρθὸν καὶ δρόμων οὐκ ἀγύμναστον καὶ βραχίονα

1. ἀνανσχεῖν. f. ib. αὐτὸ. 2. ib. γλουττῶν. br. ib. εἰς τὴν. vd. 2. ἔγκλισιν. λ. ἔκλισιν. γ. ib. ῥυτίδα. 1. ῥυτίδας. 2, 3, EJ. ib. καθὸ. vd. 3. συνιζάνουσα. f, φ et p pr. m, J. συνιζάνουσαν. ς. ib. λοξαὶ δὲ. λ. ib. αἱ om. f, vd, 2. 4. ἔσω. p. εἴσω. ς. ib. οὔτε κυνηγ. λ. 5. ζωτικὸν. f. ib. μὲν. o. ib. καὶ om. o. 6. ἀπ' αὐτοῦ. f, φ, vd. 7. ἐρᾶται. μ, h, ε, m. ib. ἐλέγχθη. j. ib. θυρῶντι. p. ib. ἐντύχομεν. gu. ἐνετύχωμεν. λ. 8. ἐπειδὴ. o. ib. γίνηται. l. 9. λόγου νῦν. φ, vd. 10. νώτων. gu. ib. ἴσοι. J conj. εἰσί. C, E. τε. 1. δὲ. 2, 3, EJ. 11. ἴσα. p, φ. ἶσα. f, vd. ἴσον. 2, 3, EJ. ib. ἔγκειται. φ. 13. ἐρῶντι. l. οἷον διψῶντι τοῦ κάλλους Aristaenet. II, 10, 158 ed. B.

XXIV. 14. τὸν. f. 15. γενεὴν. 1. (vd. ex corr. sec. m. γένεσιν habet.) ib. ὅτι. β. 16. χειμὼν. λ. ib. ἀναβάλλῃ. φ. ib. ὁποῖα. β. ι 17. ὑακινθύνην. μ. ib. ἔμβριον. φ, br, j. ἔμβρυον. vd. ib. γινόμενον. 1. (in vd. legitur ἐν ἄλλῳ· ἔμβιον τῇ γῇ πινομενον. sec. m.) ib. καὶ οἰκεῖον. λ. 18. αὐτοῦ τοῦ. 2. (fe.) ib. δεινὴ — γραφὴν. ν. ib. δεινὴ δὲ. p, μ. δεινὴ καὶ. vd. ib. ἁμαρτία. ν. 19. λέγεσθαι. ν. λέγεται. ς. 20. τῶν γεγραμμένων μόνων. β. ib. δαιμόνων. gu. 21. βαλβῖδα. gu, J. βαλβίδα. ς. ib. διακεχώρισται. vd, μ et h pr. m. δὲ ἀκέχωσται. p 2706. ib. εἰ μὴ τὸ. f, p et vd, ubi mg. ἢ δὴ εἰ μὲν sec. m. 22. δεξιὸς. λ. ib. τὴν ἐμπρ. suprasc. τὰ rec. m. br. ib. ἐργάζεται om. f et vd. pr. m. 23. συναναπάλλεσθαι. φ, 2, εφέλλεσθαι. fe, ψ, β, j, γ, g, gu. J. συναναβάλλεσθαι. f et π suprasc. p. συναποβάλλεσθαι. vd. συναπάλλεσθαι. ρ. συνεφαλέσθαι. l. συνεφάλλεσθαι. E. ib. δίσκον. φ ut J conj. et anonym. in a Bern. δίσκου. ς. 24. ἐπιδεξιὰ. j, J. ib. κυρτοῦσθαι. 1, J. κιρτοῦν. l. κυρτοῦν. ς. ib. τόσον. p. ib. γρ. ὅσον ὑποκλέψαι anonym. in a Bern. 25. οἷς ἀνιμῶνται. vd. ib. προσεμβαλλόντα. p. ib. καὶ — ἀφῆκεν. ν. ib. οὕτω πῶς. a2, i2, m, o. ib. ἐδίσκευσεν. λ. 26. ἂν om. β. ib. τὸ μὲν — τὸ om. ν. 26. καὶ ἐπ'. p. ib. ὑπ' αὐτοῦ. m, o. ib. τε τοῦ. f, vd. 27. τὸ om. 1, J. ib. δρόμον et ω suprasc. g. δρόμον. m, o.

38, 39. p. 798, 799. 1, 24.

ὑπεγεῖρον ἤδη καὶ τὴν ὥραν τῶν ὀστῶν ὑπεκφαῖνον — ἀπέστραπται δὲ ὁ Ἀπόλλων ἔτι ἐφεστηκὼς τῇ βαλβίδι καὶ κατὰ γῆς βλέπει. πεπηγέναι φήσεις αὐτόν, τοσοῦτον αὐτῷ τῆς ἐκπλήξεως ἐμπέπτωκεν. ἀμαθής γε ὁ Ζέφυρος νεμεσήσας αὐτῷ καὶ τὸν δίσκον ἐς τὸ μειράκιον ἐπαφείς, καὶ γέλως δοκεῖ τῷ ἀνέμῳ ταῦτα καὶ τωθάζει περιωπὴν ἔχων. ὁρᾷς δέ, οἶμαι, αὐτὸν ἐν πτηνῷ τῷ κροτάφῳ καὶ ἁβρῷ τῷ εἴδει, καὶ στέφανον φέρει πάντων ἀνθέων, μικρὸν δὲ ὕστερον καὶ τὴν ὑάκινθον αὐτοῖς ἐμπλέξει.

ΑΝΔΡΙΟΙ.

κε'. Τὸ τοῦ οἴνου ῥεῦμα τὸ ἐν Ἄνδρῳ τῇ νήσῳ καὶ οἱ μεθύοντες τοῦ ποταμοῦ Ἄνδριοι λόγος εἰσὶ τῆς γραφῆς. Ἀνδρίοις γὰρ δὴ ἐκ Διονύσου ἡ γῆ ὕποινος ῥήγνυται καὶ ποταμὸν αὐτοῖς ἀναδίδωσιν, εἰ μὲν ἐνθυμηθείης ὕδωρ, οὔπω μέγαν, εἰ δὲ οἶνον, μέγας ὁ ποταμὸς καὶ θεῖος· ἔστι γὰρ τούτου ἀρυσαμένῳ Νείλου τε ὑπεριδεῖν καὶ Ἴστρου, καί που καὶ φάναι περὶ αὐτῶν, ὅτι κἀκεῖνοι βελτίους ἂν ἐδόκουν ὀλίγοι μέν, ἀλλὰ τοιοῦτοι ῥέοντες. καὶ ᾄδουσιν, οἶμαι, ταῦτα γυναίοις ἅμα καὶ παιδίοις ἐστεφανωμένοι κιττῷ τε καὶ σμίλακι, καὶ οἱ μὲν χορεύοντες ἐφ' ἑκατέρας ὄχθης,
800 οἱ δὲ κατακείμενοι. εἰκὸς δέ που κἀκεῖνα εἶναι τῆς ᾠδῆς, ὡς δόνακα μὲν Ἀχελῷος, Πηνειὸς δὲ Τέμπη φέρει, Πακτωλὸς δὲ ἄνθη λοιπόν, οὗτοσὶ δὲ ὁ ποταμὸς πλουσίους τ' ἀποφαίνει καὶ δυνατοὺς τὰ ἐν ἀγορᾷ καὶ ἐπιμελεῖς τῶν φίλων καὶ καλοὺς καὶ τετραπήχεις ἐκ μικρῶν, ἔστι γὰρ κορεσθέντι αὐτοῦ συλλέγεσθαι ταῦτα καὶ ἐσάγεσθαι ἐς τὴν γνώμην. ᾄδουσι δέ που, ὅτι μόνος ποταμῶν οὗτος μήτε βουκολίοις ἐστὶ βατὸς μήθ' ἵπποις, ἀλλ' οἰνοχοεῖται μὲν ἐκ Διονύσου, πίνεται δὲ ἀκήρατος, μόνοις ἀνθρώποις ῥέων. ταυτὶ μὲν ἀκούειν ἦγον καὶ ᾀδόντων αὐτὰ ἐνίων κατεψελλισμένων τὴν φωνὴν ὑπὸ τοῦ οἴνου. τὰ δὲ ὁρώμενα τῆς γραφῆς· ὁ μὲν ποταμὸς ἐν βοτρύων εὐνῇ κεῖται τὴν πηγὴν ἐκδιδοὺς ἄκρατός τε καὶ ἐργῶν τὸ εἶδος, θύρσοι δ' αὐτῷ παραπεφύκασι, καθάπερ οἱ κάλαμοι τοῖς ὕδασι, παραμείψαντι δὲ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ ταῦτα συμπόσια Τρίτωνες ἤδη περὶ τὰς ἐκβολὰς ἁπαντῶντες ἀρύονται κόχλοις τοῦ οἴνου, καὶ τὸ μὲν πίνουσιν αὐτοῦ, τὸ δ' ἀναφυσῶσιν, εἰσὶ δ' οἳ καὶ μεθύουσι τῶν Τριτώνων καὶ ὀρχοῦνται. πλεῖ καὶ ὁ Διόνυσος ἐπὶ κῶμον τῆς Ἄνδρου καὶ καθώρμισται μὲν ἡ ναῦς ἤδη, σατύρους δὲ ἀναμὶξ καὶ ληνὰς ἄγει καὶ Σειληνούς· οἱ τὸν Γέλωτά τε ἄγει καὶ τὸν Κῶμον ἱλαρωτάτῳ καὶ ξυμποτικωτάτῳ δαίμονε, ὡς ἥδιστα ὁ ποταμὸς αὐτῷ τρυγῷτο.

1. ἐπεγεῖρον. φ. ib. ὁ om. f. ib. ἐφεστηκὼς. l. ἐφεστὼς. ς. 2. βαλβῖδι. gu, J. βαλβίδι. ς. ib. βλέπει om. br. ib. ἐκπέπτωκεν. br. 3. καὶ νεμεσ. br, fe. ib. ὡς τὸ μ. f, p. ib. παρείς. f, p et vd, ubi sec. m. ἐπαφείς. 4. αὐτὸ. 2. καὶ αὐτὸν. β. 5. ἀνδρῷ. g. ἄδρῳ. β, gu. ἀδρῷ. λ. ib. ἁπάντων. fe. ib. τὸν ὑακ. f, p.

xxv. 8. καὶ ποταμὸν — ῥέοντες. v. ib. αὐτῆς. f. 9. μέγα. 1. ib. ὁ μέγας ποτ. br. 10. ἀρυσαμένῳ. φ. ἀρυσαμένου. f, v. ib. καί που καὶ. v. καί που. ς. 11. ὀλίγον — τοιοῦτο. 2 praeter p 1760. 12. ἐπ' ἑκατέρας. o. ib. ὄχθης. 1, l, λ, γ, g. τῆς ὄχθης. ς. 13. κατακείμενοι φαίνονται. λ. ib. Ἀχελῶνος. br. 14. οὗτοσὶ δ' ὁ ποταμὸς πλουσίους ἀποφαίνει καὶ καλοὺς — μικρῶν. v. ib. δὲ ὁ π. CJ. δ' ὁ π. E. ib. ποταμὸς πλουσίους τ' ἀποφαίνει καὶ δυνατοὺς τὰ ἐ. ἀγ. f, p, φ. ποταμὸς δυνατούς τε ἀποφαίνει τὰ ἐ. ἀγ. καὶ πλουσίους. 2, 3, EJ. ποτ. δ. τ. ἀποφ. τοὺς ἐν ἀγ. καὶ πλ. vd. 15. μικροῦ. vd. ib. κορεσθέντας. vd. 16. ἐσάγεσθαι ἐς. f, φ, J. 17. ἄκρατος. vd. 18. καὶ ἐψελλισμένων malit J. 19. τὰ δὲ — κεῖται. v. ib. τὰ μὲν ὁρ. f. τὰ ὁρ. eraso δὲ p. τὰο'ρ. vd. 20. γε καὶ. f, p. ib. αὐτὸν. f. ib. περιπεφύκασι. 1. ib. καθάπαξ. 1, m. 21. ταῦτα τὰ. br. 22. ἀπατῶντες. l. ἀπαντῶντι. 2 (in br. corr. sec. m.) ib. ἀρύτονται. h. ib. ἀναφυσῶσι. e. 23. Τριτόνων. λ. ib. τοῦ Ἄνδρου. vd. ib. ὁ om. f et p. pr. m. 24. Ἄνδρου κεκόμισται. p 1760. καθόρμισται. m, o. ib. ληνὰς. p 1761, ut conj. o, J. ληναίους. ς. ib. Σειληνός. μ. Σειληνοὺς ὅσοι. 1. Σειληνοὺς. ς. Inde feci Σειληνός, ὅς οἱ τὸν. 25. ἱλαρωτάτῳ καὶ ξυμποτικωτάτῳ δαίμονι. f. ib. ἥδιστ' ἂν. vd.

40. p. 800. l. 25.

ΕΡΜΟΥ ΓΟΝΑΙ.

κς′. Ὁ κομιδῇ παῖς ὁ ἔτι ἐν σπαργάνοις, ὁ τὰς βοῦς ἐς τὸ ῥῆγμα τῆς γῆς ἐλαύνων, ἔτι
41 κἀκεῖνος ὁ συλῶν τοῦ Ἀπολλωνος τὰ βέλη Ἑρμῆς οὗτος. μάλα ἡδεῖαι αἱ κλοπαὶ τοῦ θεοῦ· φασὶ
γὰρ τὸν Ἑρμῆν, ὅτε τῇ Μαίᾳ ἐγένετο, ἐρᾶν τοῦ κλέπτειν καὶ εἰδέναι τοῦτο οὔτι πω ταῦτα πενίᾳ
δρῶν ὁ θεός, ἀλλ᾽ εὐφροσύνῃ διδοὺς καὶ παίζων. εἰ δὲ βούλει καὶ ἴχνος αὐτοῦ κατιδεῖν, ὅρα τὰ
ἐν τῇ γραφῇ· τίκτεται μὲν ἐν κορυφαῖς τοῦ Ὀλύμπου, κατ᾽ αὐτὸ ἄνω τὸ ἕδος τῶν θεῶν, ἐκεῖ δὲ 5 801
Ὅμηρος οὔτε ὄμβρων αἰσθάνεσθαί φησιν οὔτε ἀνέμων ἀκούειν, ἀλλ᾽ οὐδὲ χιόνι βληθῆναί ποτε
αὐτὸ δι᾽ ὑπερβολήν, εἶναι δὲ θεῖον ἀτεχνῶς καὶ ἐλεύθερον ἁπάντων παθῶν, ὧν μετέχει τὰ τῶν
ἀνθρώπων ὄρη. ἐνταῦθα τὸν Ἑρμῆν ἀποτεχθέντα Ὧραι κομίζονται. γέγραφε κἀκείνας, ὡς ὥρα
ἑκάστης, καὶ σπαργάνοις αὐτὸν ἀμπίσχουσιν ἐπιπάττουσαι τὰ κάλλιστα τῶν ἀνθέων, ὡς μὴ ἀσή-
μων τύχῃ τῶν σπαργάνων, καὶ αἱ μὲν ἐπὶ τὴν μητέρα τοῦ Ἑρμοῦ τρέπονται λεχὼ κειμένην, ὁ δ᾽ 10
ὑπεκδὺς τῶν σπαργάνων ἤδη βαδίζει καὶ τοῦ Ὀλύμπου κάτεισι. γέγηθε δὲ αὐτῷ τὸ ὄρος, τὸ γὰρ
μειδίαμα αὐτοῦ οἷον ἀνθρώπου. νόει δὲ τὸν Ὄλυμπον χαίροντα, ὅτι ὁ Ἑρμῆς ἐκεῖ ἐγένετο. τίς
οὖν ἡ κλοπή; βοῦς νεμομένας ἐν τῷ τοῦ Ὀλύμπου πρόποδι, ταύτας δήπου τὰς χρυσόκερως καὶ
ὑπὲρ χιόνα λευκάς, ἀνεῖνται γὰρ τῷ Ἀπόλλωνι, ἄγει στροβῶν ἐς χάσμα τῆς γῆς, οὐχ ὡς ἀπόλοιντο,
ἀλλ᾽ ὡς ἀφανισθεῖεν ἐς μίαν ἡμέραν, ἔστ᾽ ἂν τὸν Ἀπόλλω δάκῃ τοῦτο, καὶ ὡς οὐδὲν μετὸν αὐτῷ 15
τοῦ γεγονότος ὑποδύεται τὰ σπάργανα. ἥκει καὶ ὁ Ἀπόλλων παρὰ τὴν Μαῖαν ἀπαιτῶν τὰς βοῦς,
ἡ δὲ ἀπιστεῖ καὶ ληρεῖν οἴεται τὸν θεόν. βούλει μαθεῖν, ὅ τι καὶ λέγει; δοκεῖ γάρ μοι μὴ φωνῆς
μόνον, ἀλλὰ καὶ λόγου τι ἐπιδηλοῦν τῷ προσώπῳ, ἔοικεν ὡς μέλλων πρὸς τὴν Μαῖαν λέγειν
42 ταῦτα· ἀδικεῖ με ὁ σὸς υἱός, ὃν χθὲς ἔτεκες, τὰς γὰρ βοῦς, αἷς ἔχαιρον, ἐμβέβληκεν ἐς τὴν γῆν,
οὐκ οἶδ᾽ ὅποι τῆς γῆς. ἀπολεῖται δὴ καὶ ἐμβεβλήσεται κατωτέρω πρὸ τῶν βοῶν. ἡ δὲ θαυμάζει καὶ 20
οὐ προσδέχεται τὸν λόγον. ἔτ᾽ αὐτῶν ἀντιλεγόντων ἀλλήλοις ὁ Ἑρμῆς ἵσταται κατόπιν τοῦ Ἀπόλ-
λωνος καὶ κούφως ἐπιπηδήσας τοῖς μεταφρένοις ἀψοφητὶ λύει τὰ τόξα καὶ συλῶν μὲν διέλαθεν,
οὐ μὴν ἠγνοήθη σεσυληκώς. ἐνταῦθα ἡ σοφία τοῦ ζωγράφου· διαχεῖ γὰρ τὸν Ἀπόλλω καὶ ποιεῖ
χαίροντα, μεμέτρηται δὲ ὁ γέλως, οἷος ἐφιζάνων τῷ προσώπῳ θυμὸν ἐκνικώσης ἡδονῆς.

ΑΜΦΙΑΡΕΩΣ.

κζ′. Τὸ τοῖν δυοῖν ἅρμα ἵπποιν, τὸ γὰρ ἐπὶ τεττάρων οὔπω τοῖς ἥρωσι διὰ χειρὸς ἦν, εἰ 25 802
μὴ ἄρα Ἕκτορι τῷ θρασεῖ, φέρει τὸν Ἀμφιάρεων ἐκ Θηβῶν ἐπανιόντα, ὁπότε αὐτῷ ἡ γῆ λέγεται
διασχεῖν, ὡς μαντεύοιτο ἐν τῇ Ἀττικῇ καὶ ἀληθεύοι σοφὸς ἐν πανσόφοις. ἑπτὰ οὗτοι Πολυνείκει

xxvi. 1. ὁ ante κομιδῇ om. h, gu. 2. τοῦ Ἀπ. τὰ βέλη l. τὰ βέλη τοῦ Ἀπ. ς. ib. μάλιστα. br. μέγα ἤδη αἱ κλ. φ. ἡδεῖαι κλοπαὶ. vd. 3. οὔτι πω. f, λ. οὔτι που. ς. 4. Fo: κατ᾽ ἴχνος αὐτὸν κατιδεῖν. ib. τὰ τῆς γραφῆς. gu. 5. κορυφαῖς. 1. κορυφῇ. 2, 3, EJ. ib. κατ᾽ αὐτὸ τὸ ἑ. ἐ. p 2562. ἄνω κατ᾽ αὐτὸ τὸ ἕδος. vd. 6. ὄμβρον. i2, m, o. ὄμβρῶν. (sic) p. ib. οὔτε. J. ib. ποτε αὐτό. 1, J. αὐτό ποτε. 2, 3, E. 7. ἁπάντων. 1, J. πάντων. 2, 3, E. 9. ἑκάστη. λ. ib. ἐπιτάττουσαι κάλλιστα. φ. 10. τύχοι et η suprasc. g. ib. καὶ αἱ μὲν — σπαργάνων om. λ. ib. λεχὼ. 2, g, γ, gu, J. λεχῶ et suprasc. ει. ψ. λέχει et γρ. λεχὼ. p 1761, β. λέχει. 1. 11. τῶν σπαργάνων om. f. ib. ὁ δὲ. μ. ib. αὐτὸ τὸ ὄρος. λ. 13. τῷ Ὀλ. j. ib. ταύτας δὴ τὰς. vd, μ. 14. δὲ τῷ. j. ib. στροβῶν. f, et p, (ubi γρ. σοβῶν.) φ (ubi γρ. καὶ σοβῶν.) σοβῶν. vd, 2, 3, EJ. ib. οὐχ ὡς — ἡμέραν. Θ. s. v. ἀφανίζεται. ib. ἀπόλλοιντο. E. ib. ὡς om. f. 15. ἐς τοῦτο. gu. ib. Ἀπόλλωνα. λ. ib. μὲν τὸν. r. μεστὸν. φ, gu. 17. γάρ μοι. 1. γὰρ. 2, 3, EJ. 18. μέλ-
οι
λον. λ. 19. ἐμβέβληκεν. corr. rec. m. br. 20. ὅπη. f, p, λ, J. ὅπη. φ. ὅποι. 2, 3, E. ib. ἀπολεῖται δὲ. p. ib. ἐμβλήσεται. gu. κατοτέρω καὶ πρὸ. vd. 21. προάρχεται. f. 23. διηχεῖ. ψ. ib. Ἀπόλλω. 1. Ἀπόλλωνα. 2, 3, EJ. 24. οἷον. φ, vd. ib. ἐφιζάνων. f, p. ἐφιζάνειν. vd, φ, 2, ρ, E. ἐφιζάνει. λ, gu, h, J. ib. Respicit haec Isid. Pel. V. 192. p. 617. A. ib. ὡς νικώσης. vd.

xxvii. Inscr. in μ, g: Ἀμφιάραος δύων κατὰ γῆς. 25. τοῖν om. λ. τῶν δυοῖν. vd. ib. ἀπὸ τεττάρων. γ. ib. ἦν om. o. 26. αὐτῷ ἡ γῆ λέγεται. f, p. ἡ γῆ λέγ. αὐτῷ. ς. 27. ἀληθεύει. γ, λ. ib. ἐν σοφοῖς. λ. ἐπ᾽ ἀσόφοις. vd.

41, 42. p. 801, 802. 1, 27.

τῷ Θηβαίῳ τὴν ἀρχὴν κατακτώμενοι οὐδεὶς ἐνόστησε πλὴν Ἀδράστου καὶ Ἀμφιάρεω, τοὺς δὲ λοιποὺς ἡ Καδμεία κατέσχεν. ἀπώλοντο δὲ οἱ μὲν ἄλλοι δόρασι καὶ λίθοις καὶ πελέκεσι, Καπανεὺς δὲ λέγεται κεραυνῷ βεβλῆσθαι, πρότερος, οἶμαι, κόμπῳ βαλὼν τὸν Δία. οὗτοι μὲν οὖν ἑτέρου λόγου, κελεύει δὲ ἡ γραφὴ βλέπειν ἐς μόνον τὸν Ἀμφιάρεων φεύγοντα κατὰ τῆς γῆς αὐτοῖς στέμμασι καὶ αὐτῇ δάφνῃ, καὶ οἱ ἵπποι λευκοὶ καὶ ἡ δίνη τῶν τροχῶν σπουδῆς ἔμπλεως καὶ τὸ ἅσθμα τῶν ἵππων ἀπὸ παντὸς τοῦ μυκτῆρος, ἁρρῳ δὲ ἡ γῆ διέρρανται καὶ ἡ χαίτη μετακλίνεται, διαβρόχοις τε ὑπὸ ἱδρῶτος οὖσι περίκειται λεπτὴ κόνις ἧττον μὲν καλοὺς ἀποφαίνουσα τοὺς ἵππους, ἀληθεστέρους δέ. ὁ δὲ Ἀμφιάρεως τὰ μὲν ἄλλα ὥπλισται, μόνου δὲ ἀμελεῖ κράνους ἀνιεὶς τὴν κεφαλὴν Ἀπόλλωνι, βλέπων ἱερὸν καὶ χρησμῷδες. γράφει δὲ καὶ τὸν Ὠρωπὸν νεανίαν ἐν γλαυκοῖς γυναίοις, τὰ δέ ἐστι θάλατται. γράφει καὶ τὸ φροντιστήριον τοῦ Ἀμφιάρεω ῥῆγμα ἱερὸν καὶ θειῶδες. αὐτοῦ καὶ Ἀλήθεια λευχειμονοῦσα, αὐτοῦ καὶ ὀνείρων πύλη, δεῖ γὰρ τοῖς ἐκεῖ μαντευομένοις ὕπνου, καὶ Ὄνειρος αὐτὸς ἐν ἀνειμένῳ τῷ εἴδει γέγραπται καὶ ἐσθῆτα ἔχει λευκὴν ἐπὶ μελαίνῃ, τό, οἶμαι, νύκτωρ αὐτοῦ καὶ μεθ' ἡμέραν. ἔχει καὶ κέρας ἐν ταῖν χεροῖν, ὡς τὰ ἐνύπνια διὰ τῆς ἀληθοῦς ἀνάγων.

43 803

ΣΤΟΘΗΡΑΙ.

κη'. Μὴ παραθεῖτε ἡμᾶς, ὦ θηρευταί, μηδὲ ἐπικελεύεσθε τοῖς ἵπποις, πρὶν ὑμῶν ἐξιχνεύσομεν, ὅ τι βούλεσθε καὶ ὅ τι θηρᾶτε. ὑμεῖς μὲν γὰρ ἐπὶ χλούνην σῦν φατε ἴεσθαι, καὶ ὁρῶ τὰ ἔργα τοῦ θηρίου· τὰς ἐλαίας ἐξορώρυχε καὶ τὰς ἀμπέλους ἐκτέτμηκε καὶ οὐδὲ συκῆν καταλέλοιπεν ἢ μῆλον ἢ μηλάνθην, πάντα δὲ ἐξήρηκεν ἐκ τῆς γῆς τὰ μὲν ἀνορύττων, τοῖς δὲ ἐμπίπτων, τοῖς δὲ παρακνώμενος, ὁρῶ δὲ αὐτὸν καὶ τὴν χαίτην φρίττοντα καὶ πῦρ ἐμβλέποντα καὶ οἱ ὀδόντες αὐτῷ παταγοῦσιν ἐφ' ὑμᾶς, ὦ γενναῖοι, δεινὰ γὰρ τὰ τοιαυτὶ θηρία ὅτι ἐκ πλείστου κατακούειν τοῦ ὁμάδου· ἐγὼ μέντοι οἶμαι τὴν ὥραν ἐκείνου τοῦ μειρακίου διαθηρῶντας ὑμᾶς τεθηρᾶσθαι ὑπ' αὐτοῦ καὶ προκινδυνεύειν ἐθέλειν. τί γὰρ οὕτω πλησίον; τί δὲ παραψαύοντες; τί δὲ παρ' αὐτὸ ἐπέστραφθε; τί δὲ ὠστίζεσθε τοῖς ἵπποις; οἷον ἔπαθον· ἐξήχθην ὑπὸ τῆς γραφῆς μὴ γεγράφθαι δοκεῖν αὐτούς, εἶναι δὲ καὶ κινεῖσθαι καὶ ἐρᾶν, διατωθάζω γοῦν ὡς ἀκούοντας καὶ δοκῶ τι ἀντακούσεσθαι, σὺ δ' οὐδ' ὅσα ἐπιστρέψαι παραπαίοντα ἐφθέγξω τι, παραπλησίως ἐμοὶ νενικημένος καὶ οὐκ ἔχων ἀνείργεσθαι τῆς ἀπάτης καὶ τοῦ ἐν αὐτῇ ὕπνου. σκοπῶμεν οὖν τὰ γεγραμμένα, γραφῇ γὰρ παρεστήκαμεν. περίκεινται μὲν δὴ τῷ μειρακίῳ νεανίαι καλοὶ καὶ καλὰ ἐπιτηδεύοντες καὶ οἷον εὐπατρίδαι, καὶ ὁ μὲν παλαίστρας τι ἐπιδηλοῖ τῷ προσώπῳ, ὁ δὲ χάριτος, ὁ δὲ ἀστεί- 44 804

15

2. ἀπώλλοντο. μ. ib. Καπανεὺς — τὸν Δία. v. 3. βληθῆναι. Ε. ib. πρότερον λέγεται. gu. ib. μὲν οἶμαι. h, E. πρότερος μὲν ὡς λέγεται, κόμπῳ. Ε. ib. κόμπῳ βάλλων. φ, vd. κ. καλὼν. v. κομπολακῶν. Ruhnk. ap. Wyttenb. de S. N. V. p. 6. 4. κελεύη. br. ib. βλέπεις. λ. 5. καὶ ἡ δίνη — μυκτῆρος. v. 6. οἴσθμα. v. 7. τε καὶ ὑπὸ. λ. ib. δὲ ὑπὸ. J. ib. ὑπὸ τοῦ ἱδρῶτος. γ, g. ib. πρόκειται. φ. ib. ἡ κόνις — ἀληθεστέρους δὲ. v. ib. ἀποφαίνουσα. ι, ν, J. ὑποφαίνουσα. ζ. 8. ὁ Ἀμφιάρεως βλέπων ἱερὸν καὶ χρησμῷδες. v. 10. Fo: ἅτε δὴ ἐπιθαλάττιον sive τὸ δὴ ἐπὶ θαλάττῃ. ib. δὲ καὶ τὸ φροντ. br. δὲ τὸ. o. ib. τοῦ om. f. ib. Ἀμφιάρεως. λ. ib. ῥῆγμα τὸ ἱερὸν. λ. 13. μεθημέραν. vd. ib. τὰ ὕπτια. γ. 14. ἐνάγων. f. ἀνάγνων. λ.

XXVIII. Inscr. θηρευταί in f. 15. μὴ δὲ. E. ib. ἡμῶν. gu. ib. ἐξιχνεύσομεν. 1, J. ἐξιχνεύσωμεν. 2, 3, E. 16. ὅτε. br. ib. θηρᾶτε. CJ. θηρᾶσθε. E. ib. χλοῦνιν. f, p. ib. ἴεσθαι. vd, J. ἴεσθε. μ. 17. τὰς. C. καὶ τὰς E et J. qui velit ὡς τὰς. ib. καὶ τὰς ἀμπ. 1, J. τὰς. 2, 3, E. 18. ἢ μῆλον ἢ μηλάνθην. C, J. οὐδὲ μ. οὐδε μ. E. ib. πάντα γὰρ. j. ib. ἐνορύττων. f, p. ἀνορύπτων. br. ἐνορύττων. λ. ib. τοῖς δὲ ἐμπ. om. br. 19. περικνώμενος. vd. ib. αὐτὸν καὶ. C, EJ. An καὶ αὐτὸν τὴν? ib. οἱ om. l. 20. αὐτῷ. 1, J. αὐτῶν. br. αὐτοῦ. 2, 3, E. ib. ἐφ' ἡμας. φ. ib. τὰ τοιαυτὶ. 1, μ, p 1761, λ, gu, J. ταυτὶ τὰ. γ, g, ψ. τοιαυτί. E. 21. τῆς ὁμάδος. vd. ib. μὲν οἶμαι. C, EJ. Sc: μέντοι οἶμαι. ib. ἐκείνην. f. τοῦ μειρακίου ἐκείνου. β. ib. ἡμᾶς. φ. 22. τί — πλησίον om. gu. ib. αὐτὸ. C, J. αὐτῷ. E. 23. οἷον — κινεῖσθαι. v. ib. ἐνστίζεσθε. f. ib. μὴ δὲ. v. ib. δοκεῖν. v. δοκῶν. ζ. 24. οἶμαι δὲ. β, ρ. ib. ἀντακούσεσθαι. λ. ἀντακούσεσθε. br. 25. σὺ οὐδ'. λ. ib. ἐπιστρέψας. E. 26. ἔχω. f. ib. ὕθλου velit J. ib. σκοπῶ μὲν. a, i. ib. αὐτοῦ corr. sec. m. vd. 27. προεστήκαμεν. f. ib. δὴ om. br. pr. m. ib. καλοὶ καλὰ. λ. 28. καὶ — ἀστεισμοῦ. v. ib. εὐπατρίδα. br. ib. παλαίστραν τις. φ. παλ. ἐπιδ. j. id. ὁ δὲ χάριτος om. j.

43, 44. p. 803, 804. 1, 28.

σμοῦ, τὸν δὲ ἀνακεκυφέναι φήσεις ἐκ βιβλίου, φέρουσι δὲ αὐτοὺς ἵπποι παραπλήσιοι οὐδεὶς ἄλλος ἄλλῳ λευκός τις καὶ ξανθὸς καὶ μέλας καὶ φοῖνιξ, ἀργυροχάλινοι καὶ στικτοὶ καὶ χρυσοῖ τὰ φάλαρα. ταῦτα φασὶ τὰ χρώματα τοὺς ἐν Ὠκεανῷ βαρβάρους ἐγχεῖν τῷ χαλκῷ διαπύρῳ, τὰ δὲ συνίστασθαι καὶ λιθοῦσθαι καὶ σώζειν, ἃ ἐγράφη. οὐδὲ τὴν ἐσθῆτα συμβαίνουσιν ἢ τὴν στολήν, ὁ μὲν γὰρ εὔζωνος ἱππάζεται καὶ κοῦφος, ἀκοντιστής, οἶμαι, ἀγαθὸς ὤν, ὁ δὲ πέφρακται τὸ στερνον ἀπειλῶν πάλην τινὰ τῷ θηρίῳ, καὶ τὰ σκέλη πέφρακται, * * τὸ δὲ μειράκιον ὀχεῖται μὲν ἐφ' ἵππου λευκοῦ, μέλαινα δέ, ὡς ὁρᾷς, ἡ κεφαλὴ τῷ ἵππῳ καὶ λευκὸν ἀποτετόρνευται κύκλον ἐπὶ τοῦ μετώπου κατ' αὐτὸ τῆς σελήνης τὸ πλῆρες, καὶ φάλαρα ἔχει χρυσᾶ καὶ χαλινὸν κόκκου Μηδικοῦ, τουτὶ γὰρ τὸ χρῶμα προσαστράπτει τῷ χρυσῷ, καθάπερ οἱ πυρώδεις λίθοι. στολὴ τῷ μειρακίῳ χλαμὺς ἔχουσά τι ἀνέμου καὶ κόλπου. τὸ μὲν χρῶμα ἐκ φοινικῆς ἁλουργίας, ἣν ἐπαινοῦσι Φοίνικες, ἀγαπάσθω δὲ τῶν ἁλουργῶν μάλιστα, δοκοῦν γὰρ σκυθρωπάζειν ἕλκει τινὰ παρὰ τοῦ ἡλίου ὥραν καὶ τῷ τῆς ἴδης ἄνθει ῥαίνεται. αἰδοῖ δὲ τοῦ γυμνοῦσθαι πρὸς τοὺς παρόντας ἔσταλται χειριδωτῷ φοινικῷ, συμμετρεῖται δὲ ὁ χιτὼν ἐς ἥμισυ τοῦ μηροῦ καὶ ἴσα τοῦ ἀγκῶνος. καὶ μειδιᾷ καὶ χαροπὸν βλέπει καὶ κομᾷ ὅσον μὴ ἐπισκοτεῖσθαι τοὺς ὀφθαλμούς, ὅτε ἀτακτήσει ἡ κόμη ὑπὸ τοῦ ἀνέμου. τάχα τις καὶ τὴν παρειὰν ἐπαινέσεται καὶ τὰ μέτρα τῆς ῥινὸς καὶ καθ' ἓν οὕτωσὶ τὰ ἐν τῷ προσώπῳ, ἐγὼ δὲ ἄγαμαι τοῦ φρονήματος· καὶ γὰρ ὡς θηρατὴς ἔρρωται καὶ ὑπὸ τοῦ ἵππου ἐπῆρται καὶ συνίησιν, ὅτι ἐρᾶται. σκευοφοροῦσι δὲ αὐτοῖς ὀρεῖς καὶ ὀρεωκόμοι ποδοστράβας καὶ ἄρκυς καὶ προβόλια καὶ ἀκόντια καὶ λόγχας, ἐφ' ὧν οἱ κνώδοντες, καὶ κυναγωγοὶ συστρατεύουσι καὶ σκοπιωροί, καὶ τὰ ἔθνη τῶν κυνῶν, οὐχ αἱ τὴν ῥῖνα ἀγαθαὶ μόναι ἢ αἱ ταχεῖαι αὐτῶν, ἀλλὰ καὶ αἱ γενναῖαι, ἔδει γὰρ καὶ ἀλκῆς ἐπὶ τὸ θηρίον. γράφει δὴ Λοκρίδας Λακαίνας Ἰνδικὰς Κρητικάς, τὰς μὲν ἀγερώχους καὶ ὑλακτούσας, τὰς δὲ ἐννοούσας, αἱ δὲ μεθέπουσι καὶ σεσήρασι κατὰ τοῦ ἴχνους * * καὶ τὴν Ἀγροτέραν προιόντες ᾄσονται, νεὼς γάρ τις αὐτῆς ἐκεῖ καὶ ἄγαλμα λεῖον ὑπὸ τοῦ χρόνου καὶ συῶν κεφαλαὶ καὶ ἄρκτων, νέμεται δὲ αὐτῇ καὶ θηρία ἄνετα, νεβροὶ καὶ λύκοι καὶ λαγωοί, πάντα ἥμερα καὶ μὴ δεδιότα τοὺς ἀνθρώπους. ἔχονται μετὰ τὴν εὐχὴν τῆς θήρας. καὶ τὸ θηρίον οὐκ ἀνέχεται λανθάνειν, ἀλλ' ἐκπηδᾷ τῆς λόχμης, εἶτα ἐμπίπτει τοῖς ἱππεῦσι καὶ
46 ταράττει μὲν αὐτοὺς ἐκ προσβολῆς, νικᾶται δὲ ὑπὸ τῶν βαλλόντων καιρίᾳ μὲν οὐκ ἐντυχὼν διά τε τὸ φράττεσθαι πρὸς τὰς πληγὰς διά τε τὸ μὴ ὑπὸ θαρρούντων βάλλεσθαι, μαλαχθεὶς δὲ πληγῇ ἐπιπολαίῳ κατὰ τοῦ μηροῦ φεύγει διὰ τῆς ὕλης, ἐκδέχεται δὲ αὐτὸν ἕλος βαθὺ καὶ λίμνη πρὸς τῷ ἕλει. διώκουσιν οὖν βοῇ χρώμενοι οἱ μὲν ἄλλοι μέχρι τοῦ ἕλους, τὸ δὲ μειράκιον συνεμβάλλει τῷ θηρίῳ ἐς τὴν λίμνην καὶ τέτταρες οὗτοι κύνες, καὶ τὸ μὲν θηρίον ἵεται τρῶσαι τὸν ἵππον, ἀπονεῦσαν δὲ τοῦ ἵππου τὸ μειράκιον καὶ ἐς τὰ δεξιὰ μετακλῖναν ἀφίησι τῇ χειρὶ πάσῃ καὶ βάλλει τὸν σῦν κατ' αὐτὸ μάλιστα τὸ συνάπτον τὴν πλάτην τῇ δέρῃ. τοὐντεῦθεν οἱ μὲν κύνες κατά-

1. παραπλήσιος. br, ϱ, E. παραπλησίως. φ. 2. λευκός τε. br. ib. φοῖνιξ. vd. φοίνιξ. ς. 3. διαπύρῳ ὄντι. vd. 4. ἃ γραφή φ. ib. ὁ μὲν γὰρ. 1, J. ὁ μὲν. 2, 3, E. 5. κούφως. λ. ib. καὶ ἀγαθὸς. br. κἀγαθὸς. l, λ, o. 6. Descriptio vestitus equitis tertii et quarti excidit. ib. ὀχλεῖται. h, ε. 7. μέλανα. f. 8. μετόπου. β. μετώπου et γρ. προσώπου. p. προσώπου. vd. ib. καὶ ταὐτὸ. br. 9. καὶ οἱ. γ. ib. πυρρώδεις. br. 10. οἷον ἐπαινοῦσι. φ. 11. ἀγαπάσθαι. j, br. ib. δὲ om. 2. (br. add. rec. m.) ib. ἕλκειν. m. 12. εἴλης ἄνθει. Hemsterh. not. marg. ib. χειριδῶ τῷ. a, i. 13. φοίνικι. gu, ψ. ib. ἴσα. vd, γ, g. 14. κωμᾶ. l. ib. ἀτακτήσῃ. h, E. 15. καὶ τὰ – προσώπῳ. v. τὰ ἐν αὐτῷ προσώπει. vd. ib. τοῦ ῥινὸς. v. 16. τῷ om. λ. 17. ἐπῆκται. h, E. ib. ὀρεοκόμοι. φ. ὀρεωκόμος. vd. 18. ἄρκεις. m. ib. συναγωγοί. λ. 19. τὴν om. o. ib. μόνον. γ, g, gu, J. 20. δὲ. j. δὴ et ε suprasc. br. 21. αἱ δὲ. 1. αἳ δὲ. J. αἱ. γ. αἱ καὶ. 2, 3, E. ib. σεσήρωσι. m. Post ἴχνους nonnihil excidit. 22. ἀγροτέραν. E. ib. προιοῦσαι. vd, corr. sec. m. ib. καὶ νεὼς. j. νεῶς. g, b. νέως. m, o. ib. αὐτοῖς. β, λ et vd ante corr. 23. νευροὶ. μ, br. 24. πάντα ἥμεροι. vd. ib. ἥμερα μὴ. l, o. ἥμερα καὶ δ. ε, m. ib. δεδιότας – ἔχοντα. μετὰ. 1. ib. ἔχονται δὲ. Heyne Op. V, 85. ib. πρὸ τῆς. f. 25. τόλμης. br. λόγχμης. p 1761. 26. ταράττει, 1, l, J. ταράσσει. ς. ib. βαλόντων. l. ib. οὐκ om. m. ib. ἐντυχὼν. 1, J. ἐντυχόντων. 2, 3, E. 27. φράττειν. 1. ib. βαλέσθαι. l. 30. τέτταρες. f, l, γ, g, gu, J. τέσσαρες. ς. ib. ἴεται. vd, J. 31. κλῖναν. h, E. μετὰ κλῖναν. j. 32. δείρῃ. l.

45, 46. p 805, 806. 1, 28.

γουσι τὸν σῦν ἐς τὴν γῆν, οἱ δὲ ἐρασταὶ βοῶσιν ἀπὸ τῆς ὄχθης οἷον φιλοτιμούμενοι πρὸς ἀλλήλους, ὅστις ὑπερκεκράξεται τὸν πέλας, καὶ πέπτωκέ τις ἀπὸ τοῦ ἵππου μὴ κατασχών, ἀλλ' ἐκθορυβήσας τὸν ἵππον, ὁ δὲ καὶ στέφανον αὐτῷ πλέκει παρὰ τοῦ λειμῶνος τοῦ ἐν τῷ ἕλει. ἔτι ἐν τῇ λίμνῃ τὸ μειράκιον, ἔτι ἐπὶ τοῦ σχήματος, ᾧ τὸ παλτὸν ἀφῆκεν, οἱ δὲ ἐκπεπλήγασι καὶ θεωροῦσι τὸ αὐτό, οἷον γραφέν.

ΠΕΡΣΕΥΣ.

κθ'. Ἀλλ' οὐκ Ἐρυθρά γε αὕτη ἡ θάλασσα, οὐδ' Ἰνδοὶ ταῦτα, Αἰθίοπες δὲ καὶ ἀνὴρ Ἕλλην ἐν Αἰθιοπίᾳ, καὶ ἆθλος τοῦ ἀνδρός, ὃν ἑκὼν ἔτλη κατὰ ἔρωτα, οἶμαί σε, ὦ παῖ, μὴ ἀνήκοον εἶναι τοῦ Περσέως, ὃν φασιν Ἀτλαντικὸν ἀποκτεῖναι κῆτος ἐν Αἰθιοπίᾳ πεζεῦον ἐπὶ τὰς ἀγέλας καὶ τοὺς ἐν τῇ γῇ ἀνθρώπους. ταῦτ' οὖν ἐπαινῶν ὁ ζωγραφος καὶ οἰκτείρων τὴν Ἀνδρομέδαν, ὅτι 47
κήτει ἐξεδόθη, τετέλεσται ἤδη ὁ ἆθλος, καὶ τὸ μὲν κῆτος ἔρριπται πρὸ τῆς ἠόνος ἐμπλημμυροῦν πηγαῖς αἵματος, ὑφ' ὧν ἐρυθρὰ ἡ θάλασσα, τὴν δὲ Ἀνδομέδαν ἀπαλλάττει τῶν δεσμῶν ὁ Ἔρως· γέγραπται δὲ πτηνὸς μὲν τὸ εἰωθός, νεανίας δὲ παρ' ὃ εἴωθε, καὶ ἀσθμαίνων γέγραπται καὶ οὐκ ἔξω τοῦ μεμοχθηκέναι. καὶ γὰρ εὐχὴν ἀνεβάλετο τῷ Ἔρωτι ὁ Περσεὺς πρὸ τοῦ ἔργου, παρεῖναι αὐτὸν καὶ κατὰ τοῦ θηρίου συμπέτεσθαι, ὁ δὲ ἀφίκετο καὶ ἤκουσε τοῦ Ἕλληνος. ἡ κόρη δὲ ἡδεῖα μέν, ὅτι λευκὴ ἐν Αἰθιοπίᾳ, ἡδίων δὲ αὐτὸ τὸ εἶδος· παρέλθοι ἂν καὶ Λυδὴν ἁβρὰν καὶ Ἀτθίδα ὑπόσεμνον καὶ Σπαρτιᾶτιν ἐρωμένην. κεκαλλώπισται δὲ ἀπὸ τοῦ καιροῦ, καὶ γὰρ ἀπιστεῖν ἔοικε,
807 καὶ χαίρει μετ' ἐκπλήξεως καὶ τὸν Περσέα βλέπει μειδιαμά τι ἤδη ἐς αὐτὸν πέμπουσα. ὁ δὲ οὐ πόρρω τῆς κόρης ἐν ἡδείᾳ καὶ λιβανώδει πόᾳ κεῖται στάζων ἐς τὴν γῆν ἱδρῶτα καὶ τὸ δεῖμα τῆς Γοργοῦς ἔχων ἀπόθετον, μὴ ἐντυχόντες αὐτῷ λαοὶ λίθοι γένωνται. πολλοὶ δὲ οἱ βουκόλοι γάλα ὀρέγοντες καὶ οἴνου ἐπισπάσαι. ἡδεῖς οἱ Αἰθίοπες ἐν τῷ τοῦ χρώματος ἀτόπῳ καὶ βλοσυρὸν μειδιῶντες καὶ οὐκ ἄδηλοι χαίρειν καὶ οἱ πλεῖστοι ὅμοιοι. ὁ Περσεὺς δὲ ἀσπάζεται μὲν καὶ ταῦτα, στηρίζων δὲ ἑαυτὸν ἐπὶ τοῦ ἀριστεροῦ ἀγκῶνος ἀνέχει τὸν θώρακα ἔμπνους ὑπὸ ἄσθματος, ἐμβλέπων τῇ κόρῃ, καὶ τὴν χλαμύδα τῷ ἀνέμῳ ἐκδίδωσι φοινικῆν οὖσαν καὶ βεβλημένην αἵματος ῥανίσιν, ἃς προσέπνευσεν αὐτῷ τὸ θηρίον ἐν τῷ ἀγῶνι. ἐρρώσθων Πελοπίδαι παρὰ τὸν τοῦ Περσέως ὦμον. καλῷ γὰρ ὄντι αὐτῷ καὶ ὑφαίμῳ προσήνθηκέ τι τοῦ καμάτου καὶ ὑπῳδήκασιν αἱ φλέβες ἐπιλαμβάνον τοῦτο αὐτάς, ὅταν πλεονεκτήσῃ τὸ ἄσθμα. πολλὸ καὶ παρὰ τῆς κόρης ἄρνυται. 48

ΠΕΛΟΨ.

λ'. Στολὴ δὲ ἁπαλή, σχῆμα ἐκ Λυδίας καὶ μειράκιον ἐν ὑπήνῃ πρώτῃ Ποσειδῶν τε μειδιῶν ἐς τὸ μειράκιον καὶ ἀγάλλων αὐτὸ ἵπποις δηλοῖ Πέλοπα τὸν Λυδὸν ἐπὶ θάλατταν ἥκοντα, ὡς εὖ-

2. ὑπερκεκράξαι. λ. ὑποκεκράξεται. β. ib. ἐκθορυβήσας suprasc. ἐπι. p. ἐπιθορυβήσας. vd. 3. ὃς δὲ. β, ρ, γ, g. ib. αὐτοῦ. λ. ib. πρὸς τοῦ. vd. ib. λειμῶνος ἐν. j. 4. τὸν παλτὸν. vd. ib. ἐκπλήγασι. br. 5. πρὸς αὐτὸ conj. J. XXIX. 6. ἐρυθρά. EJ. ib. ἡ om. φ, vd. 7. τοῦ om. j, br. ib. ὃς. E. 8. Ἀντλαντικὸν. f. ib. πεζεύων. ε. 9. ἐπαινεῖν. λ. 10. τετέλεσθαι. ε. ib. ἠόνος. 1, J. ἠόνος. vd. ἠιόνος. ς. ib. ἐκπλημμ. φ, λ. 11. τοῦ δεσμοῦ. f. τῷ δεσμῷ. λ. 12. ἀσθμαίνων — μεμοχθηκέναι. v. 13. ἀνεβάλλετο. f, l, gu, μ, p 1761. 14. καὶ om. gu et br. ubi add. mg. ib. ἀφίκεται. i. 15. ἡδὺ. f. ib. ἤθος. vd. ib. παρέλθοι — κεκαλλώπισται. v. ib. παρέλθῃ. br. παρέλθοι περ καὶ Λυδὴν ἂν ἅβραν. v. ib. ἅβραν. vd. 16. ὑπόσεμνον Σπ. ἐρωμένην. v. ib. Σπαρτιάτην. ρ, h, E. Σπαρτιάτιν. γ, gu, μ, J. Σπαρτιᾶτιν. λ. ib. ἐρωμένην. v, λ, β et vd ex mala corr. pr. m. ib. ἀπὸ τοῦ καιροῦ κεκαλλώπισται. v. ib. καινοῦ. g. 17. χαίρει. 1. χαίρειν. 2, 3, EJ. 18. ἡδὺ. conj. J. ib. ἐς. φ. ib. ἡδία. br. ib. ἐς τ. γ. ἱδρῶ. φ. ib. δεῖγμα. f. 19. Γόργης. vd. ib. δὲ om. f. ib. δὲ ὁ βουκόλοι. vd. 20. ἐπισπᾶσαι. E. ib. ἡδεῖς — χαίρειν. v. ib. οἱ Αἰθίοπες. v. Αἰθίοπες. ς. ib. καὶ βλ. μειδ. om. v. 21. μὲν ταῦτα. l, o. 22. αὐτὸν. ρ. αὐτὸν. E. ib. ἔμπνουν. f. p. ib. ὑπὸ τοῦ ἄσθματος. EJ. 23. φοινικῆς gu. φοινικῶ. μ. 24. καὶ ἃς. f. ib. Πελοπίδα. i. Πελοπίσι. gu. 25. ὑποδήκασιν. γ, λ. 26. ἐπιλαμβάνοντος τούτου. vd, 2, β, m, o. ib. ὅτε. g, β. ib. πλεονεκτήσει. β. ib. Malim πολλὰ δὲ. XXX. Πέλοψ ὁ Λυδὸς inscr. in matr. 27. καὶ σχῆμα. f2, ven. 392. ib. Ποσειδῶν δὲ. J. 28. αὐτὸς. br. ib. ἀγάλλον. f1 ante corr. rec. m, ε. ib. ἐς τὸ. f, n. ib. θάλασσαν. vd. ib. εὖξαιντο. f7.

47, 48 p. 807. l, 29, 30.

ξαιτο τῷ Ποσειδῶνι κατὰ τοῦ Οἰνομάου, ὅτι μὴ χρῆται γαμβρῷ ὁ Οἰνόμαος, ἀλλὰ κτείνων τοὺς τῆς Ἱπποδαμείας ἐρῶντας φρονεῖ τοῖς τούτων ἀκροθινίοις ἀνάπτων τὰς αὐτῶν κεφαλὰς οἷον οἱ θήραν ἠρηκότες. καὶ εὐχομένῳ τῷ Πέλοπι ἦκει χρυσοῦν ἅρμα ἐκ θαλάττης, ἠπειρῶται δὲ οἱ ἵπποι καὶ οἷοι διαδραμεῖν τὸν Αἰγαῖον αὐχμηρῷ τῷ ἄξονι καὶ ἐλαφρᾷ τῇ ὁπλῇ. ὁ μὲν οὖν ἆθλος εὐδρομήσει τῷ Πέλοπι, τὸν δὲ τοῦ ξωγράφου ἆθλον ἡμεῖς ἐξετάζωμεν. οὐ γὰρ σμικροῦ, οἶμαι, ἀγῶνος ἵππους μὲν ξυνθεῖναι τέτταρας καὶ μὴ ξυγχέαι τῶν σκελῶν τὸ κατὰ ἕνα αὐτῶν, ἐμβαλεῖν 808
δὲ αὐτοῖς μετὰ τοῦ χαλινοῦ φρόνημα στῆσαί τε τὸν μὲν ἐν αὐτῷ τῷ μὴ θέλειν ἑστάναι, τὸν δὲ ἐν τῷ κροαίνειν βούλεσθαι, τόν δ' ἐν τῷ πείθεσθαι, ὁ δὲ γάνυται τοῦ Πέλοπος τῇ ὥρᾳ καὶ εὐρεῖαι αὐτῷ αἱ ῥῖνες, ὅσα χρεμετίζοντι. ἔτι κἀκεῖνο σοφίας· ὁ Ποσειδῶν τοῦ μειρακίου ἐρᾷ καὶ ἀναφέρει αὐτὸ ἐς τὸν λέβητα καὶ τὴν Κλωθώ, ὅτε Πέλοψ ἀστράψαι ἐδόκει τῷ ὤμῳ, καὶ τοῦ μὲν γαμεῖν οὐκ ἀπάγει αὐτόν, ἐπειδὴ ὥρμηκεν, ἀγαπῶν δὲ ἀλλ' ἐφάψασθαι τῆς χειρὸς ἐμπέφυκε τῇ δεξιᾷ τοῦ Πέλοπος ὑποτιθέμενος αὐτῷ τὰ ἐς τὸν δρόμον, ὁ δὲ ὑπέρφρον ἤδη καὶ Ἀλφειὸν πνεῖ,
49 καί ἡ ὀφρὺς μετὰ τῶν ἵππων. βλέπει δὲ ἡδὺ καὶ μετέωρον ὑπὸ τοῦ τιάρᾳ ἐπισοβεῖν, ἧς οἷα χρυσαῖ λιβάδες ἡ κόμη τοῦ μειρακίου ἀποστάζουσα μετώπῳ ὁμολογεῖ καὶ ἰούλῳ συνανθεῖ καὶ μεταπίπτουσα τῇδε κἀκεῖσε ἐν τῷ καιρίῳ μένει. γλουτὸν καὶ στέρνα καὶ ὅσα περὶ γυμνοῦ τοῦ Πέλοπος ἐλέχθη ἄν, καλύπτει ἡ ἐσθὴς αὐτῇ κνήμῃ. Λυδοὶ γὰρ καὶ οἱ ἄλλοι βάρβαροι καθείρξαντες ἐς τοιάσδε ἐσθῆτας τὸ κάλλος λαμπρύνονται τοῖς ὑφάσμασιν ἐνὸν λαμπρύνεσθαι τῇ φύσει, καὶ τὰ μὲν ἄλλα ἀφανῆ καὶ ἔσω, τὸ δὲ τῆς στολῆς, ἔνθα ὁ ὦμος ὁ ἀριστερός, τέχνῃ ἠμέληται, ὡς μὴ κρύπτοιτο αὐτοῦ ἡ αὐγή, νύξ τε γὰρ ἐπέχει καὶ λαμπρύνεται τῷ ὤμῳ τὸ μειράκιον, ὅσον ἡ νὺξ τῷ ἑσπέρῳ.

ΞΕΝΙΑ.

λα'. Καλὸν δὲ καὶ συκάσαι καὶ μηδὲ ταῦτα παρελθεῖν ἀφώνους. σῦκα μέλανα ὀπῷ λειβό- 20
μενα σεσώρευται μὲν ἐπὶ φύλλων ἀμπέλου. γέγραπται δὲ μετὰ τῶν τοῦ φλοιοῦ ῥηγμάτων, καὶ τὰ μὲν 809
ὑποκέχηνε παραπτύοντα τοῦ μέλιτος, τὰ δ' ὑπὸ τῆς ὥρας οἷον ἔσχισται. πλησίον δὲ αὐτῶν ὄζος ἔρριπται, μὰ Δί', οὐκ ἀργὸς ἢ κενὸς τοῦ καρποῦ, σκιάζει δὲ σῦκα τὰ μὲν ὠμὰ καὶ ὀλύνθους ἔτι,

1. τοὺς om. m, o. 2. τῆς om. br. (add. mg.) τῆς Ἱπποδαμείας om. vd. ib. μνηστῆρας. f, p, vd, J. ἐρῶντας. φ, 2, 3, E. ib. τοῖς om. m, o. τούτων. f. p, vd. αὐτῶν. J. τῶν μνηστήρων. φ, 2, 3, E. ib. ἀκροθηνίοις. ven. 392, 514. ἀκροθρονίοις. l. ib. ἀτάκτων λεόντων κεφαλαῖς οἷον θήραν ἠρηκότες. f, φ, vd (ubi ἠρηκότων) ante corr. et olim p, ubi erasa haec verba. Sc: ἀνάπτων τὰς αὐτῶν κεφαλὰς οἷον οἱ θήραν ἠρ. 3. τῷ om. f1. ib. δὲ ἱπποι. λ, β. 4. καὶ οἷον. β, ρ, f2, ven. 392, 514. ib. ἄξωνι. vd 82 et γ ante corr. ib. ἐλαφρῷ et α suprasc. br. 5. ἐξετάζομεν. f1, 3, 7. ἐξετάσωμεν. ven. 6. συγχέαι. ψ. ib. ἐμβάλλει μὲν αὐτῷ μετὰ χαλινοῦ φρόνημα, ἵστησί δὲ αὐτὸν ἐν αὐτῷ τῷ μὴ θέλειν ἑστάναι. Isid. Pel. p. 619 A. ib. ἐμβαλεῖν — φρόνημα. v. ib. ἐμβ. τε. ven. 309. 7. τοῖς ἵπποις. v. ib. χαλινοῦ. 1, v, J, Isid. ib. τε om. vd. ib. ἑστᾶναι. g. 8. τόν τ' ἐν. vd. ib. πιθέσθαι. p. τίθεσθαι. f, φ, vd. ib. ὁ δὲ om. f7 cum lac. ib. γάνυται. λ, f1, 4, gu, J. γάνυνται. ς. ib. τοῦ Πέλοπος τῇ ὥρᾳ. φ. τῇ ὥρᾳ τοῦ Πελ. ς. ib. εὐθεῖαι. j. 9. ῥῖναις. f1. ib. χρεματίζοντι. vd. 82. ib. ὅτι. f7. ib. σόφισμα. φ. 10. αὐτὸν. f7. ib. λέβιτα. br. ib. ὅ, τε. EJ. ib. δοκεῖ. C, EJ. Sc: ἐδόκει. ib. μὲν om. μ. 11. ἐπάγει. f1, 3, 4, ε. ἀπάγειν. j. ib. ὥρμησεν. m, o. ib. ἀγαπῶν δὲ λίαν. φ. ib. ἀλλ' ἐφαψ. 1, J. ἄλλως ἐφαψ. 2, 3, E. ib. ἐμπέφυκε δὲ. br. 12. ἐς δρόμον. f7. Hic explicit p 1698, atque inde j ad fam. 1. transit. ib. ὑπέρφρον. C. (ὑπερφέρον. ρ.) ὑπέρφρων. h, ει EJ. ib. Ἀλφειὸν. Salm. Grut. J. et ex rec. corr. Ἀλφναόν. br. ἀφναὸν. p 2706. ἀφνειόν. ς. ib. ἀφν. ὀρᾷ. λ. 13. τί ἄρα. f, j. 14. λαβίδες. f3, 4. ib. κόρη. f7. ib. τῷ μετώπῳ. f7. ib. σὺν ἀνθεῖ. f1. 15. καιρῷ. 1, br. καιρίῳ. 2, 3, EJ. ib. περὶ τοῦ γυμνοῦ τοῦ. f, j. 16. ἐλέγχη. E. ἐλέγχθη. f1. ib. ἀνακαλύπτει. 1 et ἀνὰ suprasc. in br. ib. ἡ γραφὴ ἐσθὴς αὐτῇ (αὐτὴ. f.) καὶ κνήμῃ. 1. Inde feci καλύπτει ἡ ἐσθὴς αὐτῇ κνήμῃ. ἡ γραφὴ. 2, 3, EJ. ib. Λυδοὶ — φύσει. v. ib. γὰρ om. 2. (vd. 82.) ib. καὶ om. f. ib. οἱ ἄλλοι βάρβαροι. vd, ven. οἱ ἄνω β. ς. (f.) ib. ἐς τοιαύτας. v. ἐς τοι om. γ. 17. τοῖς. v. τοῖσδε. f2. τοιοῖσδε. ς. ib. ἄλλ' ἀφανῆ. vd. 18. ἔνθα ὦμος. p eras. art. vd, ven. ib. ὁ ὦμος ἀριστερὸς. f7. 19. τε om. f7. ib. ἡ νὺξ. β. ib. νὺξ γάρ τε. 2. (vd. 82.) ib. ὅσον. f, j, p, J. ὅσα. vd, φ, 2, 3, E.

XXXI. 20. καλὸν καὶ. f, j. ib. μὴ δὲ. vd. ib. σύκα. o. μέλαινα. f. 21. φύλων. g. ib. τῶν φλ. 2 praeter p 1760, ε, m. τοῦ φλ. o. in br. τοῦ est a rec. m. ib. ῥημάτων. φ. 22. περιπτύοντα vd. ante corr. ib. τάδ'. E. 23. δὲ καὶ. f, j, et p ante corr. ib. ὀλύνθοις. m.

49. p. 808, 809. I, 31.

τὰ δὲ ῥυσσὰ καὶ ἔξωρα, τὰ δὲ ὑποσέσηρε παρεμφαίνοντα τοῦ χυμοῦ τὸ ἄνθος, τὸ δὲ ἐπ᾽ ἄκρῳ τοῦ ὄζου στρουθὸς διορώρυχεν, ἃ δὴ καὶ ἥδιστα σύκων δοκεῖ. καρύοις δὲ ἅπαν ἔστρωται τοὔδαφος, ὧν τὰ μὲν παρατέτραπται τοῦ ἐλύτρου, τὰ δὲ ἔγκειται μεμυκότα, τὰ δὲ παρεμφαίνει τὴν διαφυήν. ἀλλὰ καὶ ὄγχνας ἐπ᾽ ὄγχναις ὥρα καὶ μῆλα ἐπὶ μήλοις σωρούς τε αὐτῶν καὶ δεκάδας, εὐώδη πάντα καὶ ὑπόχρυσα. τὸ δὲ ἐν αὐτοῖς ἔρευθος οὐδὲ ἐπιβεβλῆσθαι φήσεις, ἀλλὰ ἔνδον ὑπηνθηκέναι. κεράσου δὲ ταῦτα δῶρα ὀπώρα τις αὕτη βοτρυδὸν ἐν ταλάρῳ, ὁ τάλαρος δὲ οὐκ ἀλλοτρίων πέπλεκται λύγων, ἀλλ᾽ αὐτοῦ τοῦ φυτοῦ. πρὸς δὲ τὸν σύνδεσμον τῶν κλημάτων εἰ βλέποις καὶ τὰς ἐκκρεμαμένας αὐτῶν σταφυλὰς καὶ ὡς κατὰ μίαν αἱ ῥᾶγες, ἄσῃ τὸν Διόνυσον, οἶδα, καὶ ὦ πότνια βοτρυόδωρε, περὶ τῆς ἀμπέλου ἐρεῖς. φαίης δ᾽ ἂν καὶ τοὺς βότρυς τῇ γραφῇ ἐδωδίμους εἶναι καὶ ὑποίνους. κἀκεῖνο ἥδιστον· ἐπὶ φύλλων κράδης μέλι χλωρὸν ἐνδεδυκὸς ἤδη τῷ κηρῷ καὶ ἀναπλημμυρεῖν ὡραῖον, εἴ τις ἀποθλίβοι, καὶ τροφαλὶς ἐφ᾽ ἑτέρου φύλλου νεοπαγὴς καὶ σαλεύουσα καὶ ψυκτῆρες γάλακτος οὐ λευκοῦ μόνον, ἀλλὰ καὶ στιλπνοῦ, καὶ γὰρ στίλβειν ἔοικεν ὑπὸ τῆς ἐπιπολαζούσης αὐτῷ πιμελῆς.

Β′.

ΤΜΗΤΡΙΑΙ.

810 α′. Ἀφροδίτην ἐλεφαντίνην ἐν ἁπαλοῖς μυρρινῶσιν ἄδουσιν ἁπαλαὶ κόραι. διδάσκαλος αὐτὰς ἄγει σοφὴ καὶ οὐδὲ ἔξωρος, ἐφιζάνει γάρ τις ὥρα καὶ ῥυτίδι πρώτῃ γήρως μὲν τὸ ὑπόσεμνον ἕλκουσα, τούτῳ δ᾽ αὖ κεραννῦσα τὸ σωζόμενον τῆς ἀκμῆς. καὶ τὸ μὲν σχῆμα τοῦ τῆς Ἀφροδίτης ἕδους γυμνὴ καὶ εὐσχήμων, ἡ δὲ ὕλη συνθήκη μεμυκότος ἐλέφαντος. ἀλλὰ οὐ βούλεται γεγράφθαι δοκεῖν ἡ θεός, ἔκκειται δὲ οἷα λαβέσθαι. βούλει λόγου τι ἐπιλείβωμεν τῷ βωμῷ; λιβανωτοῦ γὰρ ἱκανῶς ἔχει καὶ κασίας καὶ σμύρνης, δοκεῖ δέ μοι καὶ Σαπφοῦς τι ἀναπνεῖν. ἐπαινετέα τοίνυν ἡ σοφία τῆς γραφῆς· πρῶτα μὲν ὅτι τὰς ἀγαπωμένας λίθους περιβαλοῦσα οὐκ ἐκ τῶν χρωμάτων αὐτὰς ἐμιμήσατο, ἀλλ᾽ ἐκ τοῦ φωτός, οἷον ὀφθαλμῷ κέντρον τὴν διαύγειαν αὐταῖς ἐνθεῖσα, εἶτα ὅτι καὶ τοῦ ὕμνου παρέχει ἀκούειν· ᾄδουσι γὰρ αἱ παῖδες, ᾄδουσι, καὶ ἡ διδάσκαλος ὑποβλέπει τὴν ἀπᾴδουσαν κροτοῦσα τὰς χεῖρας καὶ ἐς τὸ μέλος ἱκανῶς ἐμβιβάζουσα. τὸ μὲν γὰρ τῆς στολῆς ἀπέριττον καὶ μὴ δι᾽ ὄχλου αὐταῖς, εἰ ἀθύροιεν, ἢ τὸ ἐν χρῷ τῆς ζώνης ἢ τὸ ἐς βραχίονα τοῦ

1. ῥυσσὰ. l, λ, J. ῥυσὰ. ς. ib. ὑποσέσηρα. E. ib. παρεμφαίνοντα. λ, h. παραφαίνοντα. ς. ib. τὰ δὲ. 2. ib. ἄκρου g. 2. στρουθοὺς. φ. στρατὸς. vd. ib. δὲ ἅπαν. f, p. 3. τῶν καρύων τὰ μὲν — διαφυὴν. v. ib. παρατέτραπται. v. παρατέτριπται. ς. (περιτετρ. vd.) ib. ἐλλύτρου. v. ib. παρεκφαίνει. v. 4. διαφυγὴν. v. διαφυλακὴν. vd. ib. καὶ om. λ, γ. ib. ὄγχνας ἐπ᾽ ὄγχναις. l, g. ὄχνας ἐπ᾽ ὄχναις. ς. 5. καὶ εὐώδη. φ. ib. ἐπ᾽ αὐτοῖς. vd. ib. ἀλλ᾽ ἔνδον. f, vd, h. 6. τε αὖτη. conj. J. ib. βοτρυδὼν. br. 7. βλέποις. l, γ, g, J. βλέπεις. ς. 8. ἐγκρεμ. γ, g. ib. αὐτῆς. br. ib. ἄγουσι τὸν. vd. 9. πώτνια. p. ib. περὶ om. φ. ib. βότρυς τὴν γραφὴν. ex corr. p. βότρυας. vd. 10. ἤδὺ τὸ. J conj. ib. ἐνδεδωκὸς. br. ib. καὶ τῷ κηρῷ — ἀποθλίβοι. v. ib. καιρῷ. f, br, et φ, ubi η suprasc. fuitque ante corr. in p. καρῷ. j. 11. τροφαλίς. f. p et ex corr. φ, J. τρυφαλλὶς. g, β. τρυφαλὶς. ς. ib. φύλου. γ. 12. καὶ στίλβειν γὰρ. γ, g. ib. στίβειν. m, o. στίλβον. ψ. στίλβον. vd.

II, 1. Ἀφροδίτη insc. vd. 14. ἐν ἁπαλοῖς. conj. J. ἁπαλοῖς. ς. ib. μυρρῶσιν. h. μυρρίνης. vd. ex corr. sec. m. ib. αὐτὴν. mg. l. 15. ῥητίδι. γ. ib. Excidisse videtur παρὰ τοῦ ante γήρως. id. ἔχουσα. p et p 1761. ἐνέλκουσα. vd. ex corr. sec. m. 16. τῆς Ἀφροδίτης, αἰδοῦς γυμνή. C, E. τῆς Ἀφροδίτης Αἰδοῦς· γυμνὴ. J. αἰδοῦς γυνὴ. φ. αἰδοῦς αιδους γυμνὴ. vd. Sc: τοῦ τῆς Ἀφρ. ἕδους γυμνὴ. 17. ἡ δὲ ὕλη. l, φ. ib. μεμυκότος καὶ ἐλέφαντος. φ. ib. ἀλλὰ οὐ. p, φ, π, ψ. ἀλλ᾽ οὐ. ς. 18. ἔγκειται. vd. ib. ἔκκ. δὲ οἷα λαβέσθαι adhibet M. Eugenic. 160. ἕλκεται. φ. ib. ἐπιλάβωμεν. ε, m, et vd a sec. m. 19. ἔχει ἱκανῶς. br. ib. κασσίας. f. 20. πρῶτα. φ. πρῶτον. ς. ib. οἷον ἀγαπ. vd. ib. τὰς. C, (τοῖς ἀγαπωμένοις. φ.) FJ. Sc: ὅτι τὰς. ib. περιβαλλοῦσα. br. περιλαβοῦσα. l corr. mg. 21. κέντρῳ. γ. ib. αὐτῶν et mg. αὐταῖς. l. ib. εἶθ᾽ ὅτι. vd. ib. καὶ ὅτι. EJ. 22. καὶ — ἱκανῶς ἐνεβίβαζε. Aristaenet. I, 10 p. 49 ed. B. ὁ διδάσκαλος. vd, quod corr. sec. m. ib. ἐπέβλεπε. Arist. 23. ἐπᾴδουσαν. Arist. ib. εἰς τὸ μέσος. φ. 24. διόχλου. j. ib. ἀθύροιεν. f.

50, 53. p. 810. II, 1.

χιτῶνος ἢ ὡς ἀνυποδησίᾳ χαίρουσιν ἐφεστῶσαι ἀπαλῇ πόᾳ καὶ ἀναψυχὴν ἕλκουσαι παρὰ τῆς δρό- 811
54 σου λειμών τε ὁ περὶ τὰς ἐσθῆτας καὶ τὰ ἐν αὐταῖς χρώματα καὶ ὡς ἄλλο ἄλλῳ ἐπιπρέπει, δαιμονίως ἐκμεμίμηται. τὰ γὰρ συμβαίνοντα οἱ μὴ γράφοντες οὐκ ἀληθεύουσιν ἐν ταῖς γραφαῖς. τὰ δὲ εἴδη τῶν παρθένων εἰ τῷ Πάριδι ἢ ἄλλῳ τῳ κριτῇ ἐπιτρέποιμεν, ἀπορῆσαι ἄν μοι δοκεῖ ψηφίσασθαι, τοσοῦτον ἁμιλλῶνται ῥοδοπήχεις καὶ ἑλικώπιδες καὶ καλλιπάρῃοι καὶ μελίφωνοι, Σαπφοῦς τοῦτο δὴ τὸ ἡδὺ πρόσφθεγμα. παραψάλλει δὲ αὐταῖς Ἔρως ἀνακλίνας τοῦ τόξου τὸν πῆχυν, καὶ ἡ νευρὰ παναρμόνιον ᾄδει καί φησι πάντα ἔχειν, ὅσα ἡ λύρα, ταχεῖς τε οἱ ὀφθαλμοὶ τοῦ θεοῦ ῥυθμόν τινα, οἶμαι, διανοοῦντες. τί δῆτα ᾄδουσι; γέγραπται γάρ τι καὶ ᾠδῆς· τὴν Ἀφροδίτην ἐκδοῦναι τῆς θαλάττης λέγουσιν ἀπορροῇ τοῦ Οὐρανοῦ, καὶ ὅπου μὲν τῶν νήσων προσέσχεν, οὕπω λέγουσιν, ἐροῦσι δέ, οἶμαι, Πάφον, τὴν γένεσιν δὲ ἱκανῶς ᾄδουσιν· ἀναβλέπουσαι μὲν γὰρ ἐμφαίνουσιν, ὅτι ἀπ᾽ οὐρανοῦ, τὰς δὲ χεῖρας ὑπτίας ὑποκινοῦσαι δηλοῦσιν, ὅτι ἐκ θαλάττης, τὸ μειδίαμα δὲ αὐτῶν γαλήνης ἐστὶν αἴνιγμα.

ΑΧΙΛΛΕΩΣ ΤΡΟΦΑΙ.

β′. Νεβροὶ καὶ λαγώς, ταῦτα θηράματα τοῦ νῦν Ἀχιλλέως, ὁ δέ γε ἐν Ἰλίῳ πόλεις αἱρήσει καὶ ἵππους καὶ ἀνδρῶν στίχας, καὶ οἱ ποταμοὶ αὐτῷ μαχοῦνται μὴ ἐῶντι αὐτοὺς ῥεῖν, κἀκείνων μὲν τῶν ἔργων μισθὸν ἀποίσεται Βρισηίδα καὶ τὰς ἐκ Λέσβου ἑπτὰ καὶ χρυσὸν καὶ τρίποδας καὶ
55 τὸ τοὺς Ἀχαιοὺς ἐπ᾽ αὐτῷ εἶναι, τὰ δὲ παρὰ τῷ Χείρωνι ταῦτα μήλων δοκεῖ καὶ κηρίων ἄξια, 812
καὶ ἀγαπᾷς, ὦ Ἀχιλλεῦ, μικρὰ δῶρα πόλεις ἀπαξιώσων τότε καὶ τὸ κῆδος τοῦ Ἀγαμέμνονος. ὁ μὲν οὖν ἐπὶ τῆς τάφρου καὶ ὁ κλίνας τοὺς Τρῶας ἐκ μόνου τοῦ βοῆσαι καὶ ὁ κτείνων ἐπιστροφάδην καὶ ἐρυθαίνων τὸ τοῦ Σκαμάνδρου ὕδωρ ἵπποι τε ἀθάνατοι καὶ ἕλξεις Ἕκτορος καὶ ὁ βρυχώμενος ἐπὶ τοῖς Πατροκλείοις στέρνοις Ὁμήρῳ γέγραπται, γράφει δὲ αὐτὸν καὶ ᾄδοντα καὶ εὐχόμενον καὶ ὁμωρόφιον τῷ Πριάμῳ, τουτονὶ δὲ οὕπω ξυνιέντα ἀρετῆς, ἀλλὰ παῖδα ἔτι γάλακτι ὑποθρέψας καὶ μυελῷ καὶ μέλιτι δέδωκεν ὁ Χείρων γράφειν ἁπαλὸν καὶ ἀγέρωχον καὶ ἤδη κοῦφον, εὐθεῖα μὲν γὰρ ἡ κνήμη τῷ παιδί, ἐς γόνυ δὲ αἱ χεῖρες, ἀγαθαὶ γὰρ δὴ αὗται πομποὶ τοῦ δρόμου, κόμη τε ἡδεῖα καὶ οὐδὲ ἀκίνητος, ἔοικε γὰρ προσαθύρων ὁ ζέφυρος μετατάττειν αὐτήν, ὡς μεταπιπτούσης τῇδε κἀκεῖσε ἄλλοτε ἄλλος ὁ παῖς εἴη, ἐπισκύνιόν τε καὶ θυμοειδὲς φρύαγμά
ἐστι μὲν ἤδη τῷ παιδί, πραύνει δὲ αὐτὸ ἀκάκῳ ὄμματι καὶ παρειᾷ μάλα ἵλεῳ καὶ προσβαλλούσῃ τι ἁπαλοῦ γέλωτος. ἡ χλαμὺς δέ, ἣν ἀμπέχεται, παρὰ τῆς μητρός, οἶμαι· καλὴ γὰρ καὶ ἁλιπόρφυρος καὶ πυραυγὴς ἐξαλλάττουσα τοῦ κυανῆ εἶναι. κολακεύει δὲ αὐτὸν ὁ Χείρων, οἷον λέοντα,

1. ὡς om. γ. ib. ἕλκουσι. vd. sed sec. m. corr. 2. καὶ ante ὡς om. f, j, p. ib. ἐπιτρέπει. l, ρ, et vd. ex corr. sec. m. ε. 3. τὰ γὰρ – γραφαῖς. v. ib. γὰρ om. l. 4. τῷ. a2, i, m. ib. μοι om. f. ib. δοκεῖ. π, ψ, h, g, J. δοκῇ. p, vd, f, j, p 1761. δοκοῖ. l, o. δοκοίη. φ. 5. ῥοδοπήχεος. π. ib. καλλιπάρειοι. j. καλλιπάριοι. br. ib. μελίφωνοι, τοῦτο δὴ Σαπφοῦς τὸ ἥδιστον φθέγμα. Aristaenet. I, 10. p. 49 ed. B. 6. δὴ om. o. ib. τὴν. o. 7. παναρμόνιος. φ. ib. ταχεῖς τε. f, vd, φ, π, ψ, br, ε, m. ταχεῖς δὲ. ς. 8. τινα εἶναι. f, j. 9. καὶ Ἀφρ. et mg. τὴν Ἀφρ. l. ib. ἐκδοῦναι et mg. ἐκφῦναι. l. ἐκφῦναι. ς. ib. θαλάσσης. vd. ib. ἀπορροῇ. 1. (ἐπι suprasc. in φ al. m.) p 1761, J. ἐπιρροῇ. 3, E. ib. καὶ ὅπου — Πάφον. v. ib. προσίσχειν. ρ. 11. ὑπο eras. in p. et κινοῦσαι. vd. 12. τὸ δὲ μειδ. vd. 13. ταῦτα, θηράματα disting. h, J. 14. καὶ ἀνδρ. στίχ. om. μ. ib. καὶ οἱ ποτ. f, j, l. καὶ ποτ. ς. ib. ῥέειν. ς. Sc: ῥεῖν. 15. ἐν Λέσβου. J. 16. τὸ om. m. 17. σμικρὰ. p 1761. ib. ἀπαξιῶν. 2 praeter p 1760. ἀπαξιώσας. ρ. 18. τῆς τάφρου. f, j, vd. τῇ σῇ τάφρῳ. p. τῇ τάφρῳ. ς. 19. ἐρυθαίνων. p ex corr. π, γ, g, ψ, J. ἐρυθραίνων. ς. ib. ἕξεις. γ. ib. ῥήτορος. j. ib. βρυχόμενος. p, 2. 20. τοῖς Πατροκλείοις. l. τοῖς τοῦ Πατρόκλου. f, j, φ, vd, 2, 3. τοῖς Πατρόκλου. EJ. 21. ξυνιέντα τῆς ἀρετῆς. vd. 22. καὶ μυελῷ ὑποθρέψας. ψ. 23. γὰρ om. j. ib. γνώμη. φ. ib. ἐς γόνυ — δρόμου. γ. ib. ἀγαθοὶ. l. ib. δὴ om. μ, p 1761. 24. ἰδία. j. ib. προαθύρων. f, j. 25. ἄλλοτε ἄλλο. φ. ib ἐπισκήνιον. l. βλε
26. δὲ om. J. ib. ὄμματι et γρ. βλέμματι. l, br. ὄμματι. p 1761. βλέμματι. ς. ib. προσβαλλοῦσι. φ. 27. πυραυγῶς. l, φ. ib. ἐξαλάττουσα. φ. ἐξαλλάττουσα et γρ. ἀστράπτουσα. p. ἀπαστράπτουσα et sec. m. ἀπαλλάττουσα. vd. ου
28. τὸ. 2 (br. mg. τοῦ). τῷ. ρ, π, ψ. τῶ. φ. τῶ ex τοῦ corr. sec. m. vd. ib. κυανῆν. E. ib. σκυλακεύειν et γρ. κολακεύειν. l.

54, 55. p 811, 812. II, 2.

πτῶκας ἁρπάζειν καὶ νεβροῖς συμπέτεσθαι· νεβρὸν γοῦν ἄρτι ἠρηκὼς ἥκει παρὰ τὸν Χείρωνα καὶ ἀπαιτεῖ τὸ ἆθλον, ὁ δὲ χαίρει ἀπαιτούμενος καὶ τοὺς προσθίους ὀκλάσας ἐς ἴσον καθίσταται τῷ παιδί, μῆλα ἀπὸ τοῦ κόλπου ὀρέγων αὐτῷ καλὰ καὶ εὐώδη, καὶ γὰρ καὶ τοῦτο αὐτῶν ἔοικεν ἐγγεγράφθαι, καὶ κηρίον ὀρέγει τῇ χειρὶ σταγόνα λεῖβον δι' εὐνομίαν τῶν μελιττῶν. ὅταν γὰρ πόαις
813 ἀγαθαῖς ἐντυχοῦσαι κυίσκωσι, περιπληθῆ τὰ κηρία γίγνεται καὶ ἀποβλύζουσι τὸ μέλι οἱ οἶκοι αὐ- 56
τῶν. ὁ δὲ Χείρων γέγραπται μὲν ὅσα κένταυρος· ἀλλὰ ἵππον ἀνθρώπῳ συμβαλεῖν θαῦμα οὐδέν, συναλεῖψαι μὴν καὶ ἑνῶσαι καί, νὴ Δία, λήγειν ἄμφω δοῦναι καὶ ἄρχεσθαι καὶ διαφεύγειν τοὺς ὀφθαλμούς, εἰ τὸ τέρμα τοῦ ἀνθρώπου ἐλέγχοιεν, ἀγαθοῦ, οἶμαι, ζωγράφου. καὶ τὸ ἥμερον δὲ φαίνεσθαι τὸ τοῦ Χείρωνος ὄμμα ἐργάζεται μὲν καὶ ἡ δικαιοσύνη καὶ τὸ ὑπ' αὐτῆς πεπνύσθαι, πράττει δὲ καὶ
10 ἡ πηκτίς, ὑφ' ἧς ἐκμεμούσωται, νυνὶ δὲ καὶ ὑποκορισμοῦ τι αὐτῷ ἔπεστιν, εἰδώς που ὁ Χείρων, ὅτι τοὺς παῖδας τοῦτο μειλίσσεται καὶ τρέφει μᾶλλον ἢ τὸ γάλα. ταυτὶ μὲν περὶ Θύρας τοῦ ἄντρου, ὁ δ' ἐν τῷ πεδίῳ παῖς ὁ ἱππηδὸν ἐπὶ τοῦ κενταύρου ἀθύρων ὁ αὐτὸς ἔτι· διδάσκει ὁ Χείρων τὸν Ἀχιλλέα ἱππάζεσθαι καὶ κεχρῆσθαι αὐτῷ ὅσα ἵππῳ, καὶ συμμετρεῖται μὲν τὸν δρόμον ἐς τὸ ἀνεκτὸν τῷ παιδί, καγχάζοντι δὲ αὐτῷ ὑπὸ τοῦ ἥδεσθαι προσμειδιᾷ μεταστρεφόμενος καὶ μο-
15 νονουχὶ λέγει „ἰδού σοι κροαίνω ἄπληκτος, ἰδοὺ καὶ ἐπικελεύομαί σοι· ὁ ἵππος ὀξὺς ἄρα καὶ ἀφαιρεῖ γέλωτα. λαγαρῶς γάρ μοι ἱππασθείς, θεῖε παῖ, καὶ τοιῷδ' ἵππῳ πρέπων ὀχήσῃ ποτὲ καὶ ἐπὶ Ξάνθου καὶ Βαλίου καὶ πολλὰς μὲν πόλεις αἱρήσεις, πολλοὺς δὲ ἄνδρας ἀποκτενεῖς θεὸν ὅσα καὶ συνεκφεύγοντας." ταῦτα ὁ Χείρων μαντεύεται τῷ παιδὶ καλὰ καὶ εὔφημα καὶ οὐχ οἷα ὁ Ξάνθος.

ΚΕΝΤΑΥΡΙΔΕΣ.

20 γ'. Σὺ μὲν ᾤου τὴν τῶν κενταύρων ἀγέλην δρυῶν ἐκπεφυκέναι καὶ πετρῶν ἢ, νὴ Δία, ἵππων
814 μόνον, αἷς τὸν τοῦ Ἰξίονος ἐπιθόρνυσθαί φασιν, ὑφ' οὗ οἱ κένταυροι [ἐνωθέντες] ἦλθον ἐς κρᾶσιν· 57
τοῖς δὲ ἄρα καὶ μητέρες ὁμόφυλοι ἦσαν καὶ γυναῖκες ἤδη καὶ πῶλοι ἐν εἴδει βρεφῶν καὶ οἶκος ἥδιστος. οὐ γὰρ οἶμαί σε ἄχθεσθαι τῷ Πηλίῳ καὶ τῇ ἐν αὐτῷ διαίτῃ καὶ τῷ τῆς μελίας φυτῷ ἀνεμοτρεφεῖ ὄντι καὶ παρεχομένῳ τὸ ἰθὺ ὁμοῦ καὶ τὸ μὴ κλᾶσθαι ἐν τῇ αἰχμῇ, καὶ τὰ ἄντρα κάλλιστα καὶ αἱ
25 πηγαί, καὶ αἱ παρ' αὐτοῖς κενταυρίδες, εἰ μὲν ἐπιλαθοίμεθα τῶν ἵππων, οἷον ναίδες, εἰ δὲ μετὰ τῶν ἵππων αὐτὰς λογιζοίμεθα, οἷον ἀμαζόνες, ἡ γὰρ τοῦ γυναικείου εἴδους ἁβρότης ῥώννυται συνορωμένου αὐτῷ τοῦ ἵππου. κένταυροι δὲ ταυτὶ τὰ βρέφη τὰ μὲν σπαργάνοις ἔγκειται, τὰ δὲ τῶν σπαργάνων ὑπεκδύεται, τὰ δὲ κλάειν ἔοικε, τὰ δὲ εὖ πράττει καὶ εὑροοῦντος τοῦ μαζοῦ μει-

1. περὶ a et h ex corr. 2. τὸ ἆθλον. p ante corr. et j. τὸν ἆθλον. f. τὰ ἆθλα. ς. ib. ὀκλάσας. f, j, p, vd. ἐνοκλάσας. ς. 3. καὶ γὰρ τοῦτο. f, j, l. 4. ὅτε. ψ. 5. καὶ om. f. ib. ἀποβλίζουσι. br. ib. αἶκοι. ψ. 6. ἀλλὰ — ζωγράφου. v. ib. συμπλέξαι. γ et γρ. συμβαλεῖν. συμμαχεῖν. v. 7. μὲν οὖν. v. ib. καὶ διαλήγειν ἄμφω δοῦναι. v. καὶ, νὴ Δία, δοῦναι ἄμφω λήγειν. conj. J. Inde scripsi: καί, νὴ Δία, λήγειν ἄμφω δοῦναι. In ς est καὶ διαδοῦναι ἄμφω λήγειν. ib. ὡς διαφεύγειν conj. J. 8. ἢ τὸ. v. ib. τέρμα τὸ θατέρου conj. J. ib. καὶ — φαίνεσθαι om. o. 9. καὶ τὸ τοῦ. f, J. ib. ὄμμα. f et j, ubi ἦθος in mg. ἦθος. ς. (l, vd.) ib. πεπνῆσθαι. φ. ib. πηκτίς. π. πυκτίς. vd. 10. νυνὶ δὲ ὑποκ. vd. ib. ὑποκυρισμοῦ. π. ib. αὐτὴν. l. mg. 11. μάλα. f, j. ib. Θύρας. C. τὰς Θύρας. EJ. ib. τὸν ἄνδρα τοῦ ἄντρου. π. 12. παιδίω. br, vd. ib. ὁ αὐτὸς. f, j, p, J. οἱ αὐτοί. φ, 2, 3, E. 13. χρῆσθαι. μ. ib. Fo: ἑαυτῷ. 14. τὸν ἀνεκτὸν. ρ. ib. μονονουχί. f, p, J. μονονοῦ. ς. 15. ἀφαιρεῖ. f, vd, l, φ, J. ἀφαιρῇ p. ἀφερῇ. j. ἀφαιρεῖν. 2, 3, E. 16. λαγαρὸς. ρ. ib. ὁ ἱππασθείς. φ. ἱππαστὴς. ρ. ib. ὀχήσω. ρ. ib. ποτὲ ἐπὶ. o. ib. ἢ B. j. ib. Βαλλίον. f, j, ρ. 17. θεὸν. f, j, l, p. θεῶν. ς. 18. συνεκφεύγοντες. o. συνεκφεύγονται, π ex nota Casanni Auct. lex. 152. Fo: ὅσα θεὸν καὶ σὲ ὑπεκφεύγοντας.

III. 20. μὲν om. vd. pr. m. ib. ἀλλὰ καὶ. π. ib. ταύρων. j. κενταυρίδων. l (et mg. γρ. κενταύρων.), ε, m. κενταύρων add. id. sec. m. vd. 21. μόνων. l. ib. ἐς τὸν. ρ, π. ib. κενταύριοι. j. ib. οἰνωθέντες et ἡνωθέντες mg. l. οἰνωθέντες. C, ε. ἐνωθέντες. m, o. ὁρμηθέντες. Creuzer Wiener Jahrb. LVII, 42. Inclusi participium. οἶκος ἥδιστος, οὐ γὰρ om. o. 23. ἀνεμοτροφεῖ f, φ, E. 24. καὶ αἱ — ἀμαζόνες. v. 25. κεντρίδες. ρ. 26. λογιζόμεθα. g. ib. γυναικίου. br. 27. συναρωμένου. γ, g. ib. βρέφη καὶ τὰ μὲν. vd. 29. πράττειν. vd.

56, 57. p. 813, 814. II, 3.

διᾷ, τὰ δὲ ἀτάλλει ὑπὸ ταῖς μητράσι, τὰ δὲ περιβάλλει αὐτὰς ὀκλαζούσας, ὁ δὲ ἐς τὴν μητέρα λίθον ἀφίησιν ὑβρίζων ἤδη καὶ τὸ μὲν τῶν νηπίων εἶδος οὔπω σαφὲς ἐμπλημμυροῦντος αὐτοῖς τοῦ γάλακτος, τὰ δὲ ἤδη σκιρτῶντα ἐκφαίνει τι καὶ τραχύτητος, ὑπάρχει δὲ αὐτοῖς χαίτη μέλλουσα καὶ ὁπλαὶ ἁπαλαὶ ἔτι. ὡς καλαὶ αἱ κενταυρίδες καὶ ἐν ταῖς ἵπποις· αἱ μὲν γὰρ λευκαῖς ἵπποις ἐμπεφύκασιν, αἱ δὲ ξανθαῖς συνάπτονται, τὰς δὲ ποικίλλει μέν, ἀποστίλβει δὲ αὐτῶν οἷόν τι τῶν ἐν κομιδῇ ἵππων. ἐκπέφυκε καὶ μελαίνης ἵππου λευκὴ κενταυρὶς καὶ τὰ ἐναντιώτατα τῶν χρωμάτων ἐς τὴν τοῦ κάλλους συνθήκην ὁμολογεῖ.

ΙΠΠΟΛΥΤΟΣ.

58 δ'. Τὸ μὲν θηρίον ἀρὰ Θησέως, ἐμπέπτωκε δὲ τοῖς Ἱππολύτου ἵπποις ἐν εἴδει ταύρου γλαυκοῦ κατὰ τοὺς δελφῖνας, ἥκει δὲ ἐκ θαλάττης κατὰ τοῦ μειρακίου οὐδεμιᾷ δίκῃ· μητρυιὰ γὰρ Φαῖδρα ξυνθεῖσα λόγον ἐπ' αὐτῷ οὐκ ὄντα, ὡς δὴ ἐρῷτο ὑπὸ τοῦ Ἱππολύτου — αὐτὴ δὲ ἄρα τοῦ μειρακίου ἦρα — ἀπατᾶται ὁ Θησεὺς τῷ λόγῳ καὶ καταρᾶται τοῦ παιδὸς τὰ ὁρώμενα· οἱ μὲν δὴ ἵπποι ὁρᾷς, ὡς ἀτιμάσαντες τὸν ζυγὸν ἐλευθέραν αἴρουσι τὴν χαίτην, οὐδὲ κροαίνουσιν, ὥσπερ οἱ λαμπροὶ καὶ ἔμφρονες, ἀλλ' ἐξηρμένοι φόβῳ καὶ πτοίᾳ, ῥαίνοντες δὲ ἀφρῷ τὸ πεδίον ὁ μὲν ἐς τὸ θηρίον ἐπέστραπται φεύγων, ὁ δ' ἀνεσκίρτησεν ἐς αὐτό, ὁ δὲ ὑποβλέπει, τῷ δὲ ἐς τὴν θάλατταν ἡ φορὰ καθάπερ ἑαυτοῦ τε καὶ τῆς γῆς ἐκλαθομένῳ, μυκτῆρσι δὲ ὀρθοῖς οὐχὶ χρεμετίζουσιν, εἰ μὴ παρακούεις τῆς γραφῆς. τροχοὶ δ' ἅρματος ὁ μὲν ἐξήρμοσται τὰς κνήμας ὑπὸ τοῦ συγκλιθῆναι τὸ ἅρμα ἐς αὐτόν, ὁ δ' ἐκλελοιπὼς τὸν ἄξονα φέρεται καθ' ἑαυτὸν στροβούσης αὐτὸν ἔτι τῆς δίνης. διεπτόηνται καὶ οἱ τῶν ὀπαδῶν ἵπποι καὶ τοὺς μὲν ἀποσείονται, τοὺς δ' ἄγχοντάς ποι ἤδη φέρουσι. σὺ δέ, μειράκιον, σωφροσύνης ἐρῶν ἄδικα μὲν ὑπὸ τῆς μητρυιᾶς ἔπαθες, ἀδικώτερα δὲ ὑπὸ τοῦ πατρός, ὥστε ὠδύρατο καὶ ἡ γραφὴ θρῆνόν τινα ποιητικὸν ἐπὶ σοὶ ξυνθεῖσα· σκοπιαὶ μὲν γὰρ αὗται, δι' ὧν ἐθήρας ξὺν Ἀρτέμιδι, δρύπτονται τὰς παρειὰς ἐν εἴδει γυναικῶν, λειμῶνες δ' ἐν ὥρᾳ μειρακίων, οὓς ἀκηράτους ὠνόμαζες, μαραίνουσιν ἐπὶ σοὶ τὰ ἄνθη, νύμφαι τε αἱ σαὶ
59 τροφοὶ τουτωνὶ τῶν πηγῶν ἀνασχοῦσαι σπαράττουσι τὰς κόμας ἀποβλύζουσαι τῶν μαζῶν ὕδωρ. ἤμυνε δέ σοι οὐδ' ἡ ἀνδρία οὐδέν, οὐδὲ ὁ βραχίων, ἀλλά σοι τὰ μὲν ἐσπάρακται τῶν μελῶν, τὰ δὲ συντέτριπται, πέφυρται δ' ἡ κόμη, καὶ τὸ μὲν στέρνον ἔμπνουν ἔτι καθάπερ μὴ μεθιέμενον τῆς ψυχῆς, τὸ δὲ ὄμμα περιαθρεῖ τὰ τετρωμένα. φεῦ τῆς ὥρας, ὡς ἄτρωτός τις ἐλελήθει οὖσα· οὐδὲ γὰρ νῦν ἀπολείπει τὸ μειράκιον, ἀλλ' ἐπιπρέπει τι καὶ τοῖς τραύμασιν.

1. ἀτάλλει. f, π, J. ἀτάλει. γ. ἀττάλει. γ. ἀττάλλει. vd, E. ib. ὁ δὲ — ἤδη. v, qui addit τῶν κενταύρων. ib. τὸ δὲ — ὑβρίζον. vd. 2. ὑβρίζειν. v. ib. ἐμπλημμυρ. 1, π. ἐκπλημμυρ. ς. (vd:) ib. αὐτοῖς τοῦ γ. vd. αὐτῷ τοῦ γ. ς. 3. ἐμφαίνει. m, ubi mg. γρ. ἐκφαίνει, et o. ib. αὐτῆς. ρ. 4. καὶ καλαὶ. π. ib. τοῖς ἵπποις. C, EJ. Sc: ταῖς ἵπποις. ib. λευκοῖς. br. 5. ξυνάπτονται. φ, p 1761. συνάπτονται. ς. 6. ἐναντιώματα. ρ. ib. τῶν om. f, j. 7. ἐς τὸν. o. IV. 8. ἀρὰ. conj. J. ἄρα. ς. ib. γλαυκοῦ. p et l, ubi in mg. λευκοῦ. o, J. δελφοῦ et suprasc. λευκοῦ. γ. λευκοῦ. ς. (f, vd, φ.) 9. οὐδὲ μιᾷ. μ, vd. 10. Φαῖδρα — ἦρα. v. ib. Φαίδρα. J. ib. μητρυὰ. φ. ib. ἐπὶ Ἱππολύτῳ ἥκοντα. v. ἐπ' αὐτό. ρ. ib. διερῶτο. v, br, p 1760, 1761. δὴ ἐρῶ τὸ. φ. ib. ὑπ' αὐτοῦ. v. 12. ἀτιμάσαντα. φ. ib. ὅδε. f. οἵδε. l. οὐδὲ. om. m, o. ib. κροαίνουσιν. l. κροαίνοντες. ς. 13. ἐξηρημένοι. f, p. ib. παιδίον. j. 14. ὑπέστραπται. π. ib. ἀνεσκίρτησεν. o. ib. τῷ δὲ — ἐκλαθομένῳ. v. ib. εἰς τὴν θ. v, φ, vd, π. ib. θάλασσαν. π. 15. ἑαυτοῦ τε. v. ἑαυτοῦ. ς. ib. χρεματίζοντι. br. 16. παρακούοις. μ, p 1761. ib. κνήμας. 1, EJ. πλήμνας et γρ. κνήμας. g. πλήμνας. 2, 3, E. 17. τῆς δίνης. E post αὐτὸν. in vd. add. sec. m. ib. καθ' ἑαυτὸν. f, p. καθ' αὐτὸν. ς. ib. στροβούσης. π. στρομβούσης. E. 18. οἱ τῶν παίδων. φ. ib. ἄγχον τὰς. f. ἄγχοντες. 2, 3, ε, m. ib. ποι. C, J. που. vd. πῃ. E. 19. πέπονθας. vd. 20. ἐπὶ σοὶ om. l. 21. μὲν γὰρ. 1, π, J. μὲν. 2, 3. E. ib. σὺν Ἀρτ. p, γ, g. ib. θρύπτονται. αι π. δρύπτονται — γυναικῶν om. vd. 23. ταράττουσι et mg. σπαράττουσι. l. ib. τῶν ὀμμάτων. conj. J. 24. ἤμυνε. sic. vd. corr. pr. m. ib. ἡ ἀνδρεία. φ. ib. οὐδ' ὁ βρ. vd. ib. ἐσπάρατται. l, j. 27. οὐ γὰρ. f, j. ib. ἐπιτρέπει. p. ante corr. ε, m.

58, 59. p. 815. 11, 4.

ΡΟΔΟΓΟΥΝΗ.

ε΄. Καὶ τὸ αἷμα πρὸς τῷ χαλκῷ καὶ ταῖς φοινικίσι προσβάλλει τι ἄνθος τῷ στρατοπέδῳ, καὶ χαρίεν τῆς γραφῆς οἱ ἄλλος ἄλλως πεπτωκότες ἵπποι τε ἀτακτοῦντες μετ᾽ ἐκπλήξεως καὶ παρε-
816 φθορὸς ὕδωρ ποταμοῦ, ἐφ᾽ ᾧ ταῦτα, οἱ δὲ αἰχμάλωτοι καὶ τὸ ἐπ᾽ αὐτοῖς τρόπαιον Ῥοδογούνη καὶ Πέρσαι νικῶσιν Ἀρμενίους ἐν σπονδαῖς ἀτακτήσαντας, ὅτε δὴ λέγεται ἡ Ῥοδογούνη κρατῆσαι τῆς μάχης οὐδὲ ὅσον τὰ δεξιὰ τῆς χαίτης ἀναλαβεῖν ξυγχωρήσασα ἑαυτῇ βραδῦναι. ἢ οὐκ ἐπῆρται καὶ φρονεῖ ἐπὶ τῇ νίκῃ καὶ ξυνίησιν, ὡς ἔσοιτο ἀοίδιμος ἐπὶ τῷ ἔργῳ καὶ ἐν κιθάρᾳ καὶ ἐν αὐλῷ καὶ ἔνθα Ἕλληνες; προσγέγραπται δὲ αὐτῇ καὶ Νισαία ἵππος μέλαινα ἐπὶ λευκοῖς τοῖς σκέλεσι καὶ τὰ στέρνα λευκὰ καὶ τὸ πνεῦμα ἀπὸ λευκοῦ τοῦ μυκτῆρος καὶ τὸ μέτωπον ἐν ἀρτίῳ τῷ κύκλῳ. λίθων μὲν οὖν καὶ ὅρμων καὶ παντὸς ἁπαλοῦ κόσμου παρακεχώρηκεν ἡ Ῥοδογούνη τῷ ἵππῳ, ὡς ἀγάλ-
10 λοιτο καὶ ἁβρῶς τὸν χαλινὸν διαπτύοι, κοκκοβαφεῖ δὲ ἐσθῆτι καταλάμπει πάντα πλὴν τοῦ ἑαυτῆς εἴδους ἐν ἡδείᾳ μὲν τῇ ζώνῃ καὶ τὴν ἐσθῆτα μετρούσῃ ἐς γόνυ, ἡδείᾳ δὲ τῇ ἀναξυρίδι καὶ παρε- 60
χομένῃ γραφὰς ἀπὸ κερκίδος, τὸ δὲ ἀπὸ ὤμου ἐς ἀγκῶνα τὸν χιτῶνα διαλείπουσαι πόρπαι ξυνάπτουσιν ὑπανισχούσης ἐναλλὰξ τῆς ὠλένης, ἔνθα ὁ δεσμός. ὁ δὲ ὦμος ἔγκειται καὶ τὸ σχῆμα οὔπω ἀμαζόνος. καὶ τῆς ἀσπίδος ἄγασθαι χρὴ τὸ μέτριον καὶ ἀποχρῶν τῷ στέρνῳ καὶ τὴν ἰσχὺν τῆς
15 γραφῆς ἐνταῦθα ἐξετάσαι· ὑπερβάλλουσα γὰρ ἡ ἀριστερὰ τὸν πόρπακα ἔχεται τῆς αἰχμῆς ἀφιστᾶσα τοῦ στέρνου τὴν ἀσπίδα, ὀρθῆς δὲ ἐκκειμένης τῆς ἵππου ὁρᾶται μὲν καὶ τὰ ἔξω τῆς ἀσπίδος· ἢ οὐ χρυσᾶ ταῦτα καὶ οἷον ζῷα; τὰ δὲ ἔσω, καὶ ἔνθα ἡ χείρ, ἁλουργά, προσανθεῖ δὲ αὐτοῖς ὁ πῆχυς. αἰσθάνεσθαί μοι δοκεῖς, ὦ παῖ, τοῦ ἐν αὐτῇ κάλλους καὶ βούλεσθαί τι καὶ περὶ τούτου ἀκούειν. ἄκουε δή· σπένδει μὲν ἐπὶ τῇ τῶν Ἀρμενίων τροπῇ, καὶ ἡ ἔννοια εὐχομένης. εὔχεται δὲ αἱρεῖν
817 20 τοὺς ἄνδρας, οὓς νῦν ἤρηκεν, οὐ γάρ μοι δοκεῖ ἐρᾶν τοῦ ἐρᾶσθαι. καὶ τὸ μὲν ἀνειλημμένον τῶν τριχῶν αἰδοῖ κεκόσμηται τὸ ἀγέρωχον κολαζούσῃ, τὸ δὲ ἄνετον βακχεύει αὐτὴν καὶ ῥώννυσι, καὶ ξανθὸν μὲν καὶ χρυσοῦ πέρα τὸ ἀτακτοῦν τῆς κόμης, τὸ δὲ ἐπὶ θάτερα κείμενον ἔχει τι καὶ ἐς αὐγὴν παραλλάττον ὑπὸ τοῦ τετάχθαι. τῶν δὲ ὀφρύων χαρίεν μὲν τὸ ἀπὸ τοῦ αὐτοῦ ἄρχεσθαι καὶ ὁμόθεν ἐκπεφυκέναι τῆς ῥινός, χαριέστερον δὲ τὸ περιῆχθαι, δεῖ γὰρ αὐτὰς μὴ προβεβλῆσθαι
25 τῶν ὀφθαλμῶν μόνον, ἀλλὰ καὶ περιβεβλῆσθαι αὐτοῖς. ἡ παρειὰ δὲ ὑποδέχεται μὲν τὸν ἀπὸ τῶν ὀμμάτων ἵμερον, εὐφραίνει δὲ τῷ ἱλαρῷ, τὸ γὰρ φιλομειδὲς ἐν παρειᾷ μάλιστα, καὶ οἱ ὀφθαλμοὶ κέκρανται μὲν ἀπὸ τοῦ χαροποῦ ἐς τὸ μέλαν, παρέχονται δὲ τὸ μὲν ἱλαρὸν ἀπὸ τοῦ καιροῦ, τὸ δὲ ὡραῖον ἀπὸ τῆς φύσεως, τὸ δὲ γαῦρον ἀπὸ τοῦ ἄρχειν. στόμα δὲ ἁπαλὸν καὶ ἀνάμεστον ὀπώρας ἐρωτικῆς, φιλῆσαι μὲν ἥδιστον, ἀπαγγεῖλαι δὲ οὐ ῥᾴδιον· ἃ δὲ ἀπόχρη σοι μαθεῖν, ὅρα, παι- 61
30 δίον· χείλη ἀνθηρὰ καὶ ἴσα, στόμα σύμμετρον καὶ παραφθεγγόμενον τὴν εὐχὴν τῷ τροπαίῳ, κἂν παρακοῦσαι βουληθῶμεν, τάχα ἑλληνιεῖ.

v. 2. ἄλλος ἄλλη. vd. ἄλλοι ἄλλως. i2. ib. παρεμφθορὸς. br. 3. ὑπ᾽ αὐτοῖς et mg. ἐπ᾽ αὐτοῖς. l. ἐπ᾽ αὐτῆς. f. ib. τρόπαιον. vd, π. τροπαῖον. ς. 4. ἀτακτήσαντες. ρ. 5. βραδῦναι. vd, J. βραδύναι. E. ib. ἢ. J. ᾗ. m. 6. ἐν αὐλοῖς. EJ. καὶ αὐλοῖς. l. 7. ἔνθα οἱ Ἑλλ. vd, φ. ib. *Νησαία*. f. *Νίσαια*. μ. 9. ἄλλου. π, ρ, br, m. mg. ib. καὶ ἀγάλοιτο. φ. 10. διαπτύη. φ. ib. κοκκοβαφῆ. f. ib. καταλάμπειν. ρ. 12. γραφὰς ἀπὸ κερκίδος κτέ expressit Aristaenet. I, 27. p. 118. ed. B. ib. ἀπὸ τοῦ ὤμου. φ, vd, et p ex corr. 13. οὐ δεσμὸς. o. ib. ἐγκεῖται. f. ἐγκεῖται. φ. ib. καὶ om. C ante τὸ σχῆμα. 14. ἄγεσθαι. f. 15. ἐξέτασε. l. ib. ὑποβάλλουσα. o. ib. ἀφιστᾶσαι. f, j, φ. 16. ἐκκειμένης. l, o, J. ἐγκειμένης. ς. ib. ἀσπίδα τοῦ στέρνου. ρ. ib. τῆς om. br. ib. ἢ οὐ. J. 17. ἁλουργὰ. vd. ib. αὐτῆς. l, γ. 18. αἰσθάνεσθαί μοι δοκεῖς. 1, π, 2. καὶ αἰσθάνεσθαι μοι. l. αἰσθάνεσθαι δέ μοι. 3, EJ. 19. εὔνοια. l. ἔνοια. π. 20. ὡς νῦν. o. ib. ἀντερᾶσθαι. π. ib. τὸ μὲν — τροπαίῳ. h. ib. ἐνειλημμένον. π. 22. ξανθὴν. j. ib. ἐς αὐγὴν. conj. J. εἰς αὐτὴν. br. εἰς αὖτην. ς. 23. τὸ ὑπὸ τοῦ αὐτοῦ. vd. τὸ ἀπὸ τούτου τοῦ. γ. αὐτοῦ om. ε, m. τὸ et αὐτοῦ om. o. 24. τὴν ῥῖνα. p ante corr. 25. τῶν — περιβεβλῆσθαι om. j, γ. ib. τὸ ἀπὸ τῶν ὀφθ. φ. ib. μόνων. π. ib. ἡ παρειὰ — ἵμερον. Arist. II, 4. p. 138 ed. B. 27. εἰς. b, 9. 29. ἰδεῖν μὲν — ῥᾴδιον. v. φιλῆσαι μὲν — ῥᾴδιον. Ar. l. c. ib. ἰδεῖν. v. 30. περιφθ. vd. ib. τῷ τροπαίῳ om. p 1760. τῷ τροπαίῳ ἐκ τοῦ λεληθότος. μ, p 1761. τῷ τρόπῳ. vd.

60, 61. p. 816, 817. II, 5.

ΑΡΡΙΧΙΩΝ.

ς΄. Ἐς αὐτὰ ἥκεις Ὀλύμπια καὶ τῶν ἐν Ὀλυμπίᾳ το κάλλιστον, τουτὶ γὰρ δὴ ἀνδρῶν τὸ παγκράτιον, στεφανοῦται δὲ αὐτὸ Ἀρριχίων ἐπαποθανὼν τῇ νίκῃ καὶ στεφανοῖ αὐτὸν οὑτοσὶ Ἑλλανοδίκης — ἀτρεκὴς δὲ προσειρήσθω διά τε τὸ ἐπιμελεῖσθαι ἀληθείας διά τε τό, ὡς ἐκεῖνοι, γεγράφθαι — στάδιόν τε ἡ γῆ δίδωσιν ἐν ἁπαλῇ αὐλῶνι καὶ ἐσεχούσῃ τοσοῦτον, καὶ τὸ τοῦ Ἀλφειοῦ 818
νᾶμα ἐξέρχεται κοῦφον — ταῦτά τοι καὶ μόνος ποταμῶν ἐπὶ τῆς θαλάττης ὀχεῖται — κότινοί τε
αὐτῷ περιτεθήλασιν ἐν γλαυκῷ εἴδει καλοὶ καὶ κατὰ τὴν τῶν σελίνων οὐλότητα. ταυτὶ μὲν οὖν μετὰ τὸ στάδιον ἐπισκεψόμεθα καὶ πολλὰ ἕτερα, τὸ δὲ ἔργον τοῦ Ἀρριχίωνος, πρὶν ἢ παύσασθαι αὐτό, σκοπῶμεν, ἔοικε γὰρ μὴ τοῦ ἀντιπάλου μόνον, ἀλλὰ καὶ τοῦ Ἑλληνικοῦ κεκρατηκέναι· βοῶσι γοῦν ἀναπηδήσαντες τῶν θάκων καὶ οἱ μὲν τῷ χεῖρε ἀνασείουσιν, οἱ δὲ τὴν ἐσθῆτα, οἱ δὲ αἴρονται ἀπὸ τῆς γῆς, οἱ δὲ τοῖς πλησίον ἱλαρὸν προσπαλαίουσι, τὰ γὰρ οὕτως ἐκπληκτικὰ οὐ
συγχωρεῖ τοῖς θεαταῖς ἐν τῷ καθεκτῷ εἶναι. ἢ τίς οὕτως ἀναίσθητος, ὡς μὴ ἀνακραγεῖν ἐπὶ τῷ
62 ἀθλητῇ; μεγάλου γὰρ δὴ αὐτῷ ὑπάρχοντος τοῦ δὶς ἤδη νικῆσαι τὰ Ὀλύμπια μεῖζον τοῦτο νυνί, ὅτε καὶ τῆς ψυχῆς αὐτὰ κτησάμενος ἐς τὸν τῶν ὀλβίων πέμπεται χῶρον αὐτῇ κόνει. μὴ δὲ συντυχία νοείσθω τοῦτο, σοφώτατα γὰρ προυνοήθη καὶ τὸ πάλαισμα τῆς νίκης· οἱ παγκρατιάζοντες, ὦ παῖ,
κεκινδυνευμένῃ προσχρῶνται τῇ πάλῃ, δεῖ γὰρ αὐτοῖς ὑπτιασμῶν τε, οἳ μή εἰσιν ἀσφαλεῖς τῷ πα- 819
λαίοντι, καὶ συμπλοκῶν, ἐν αἷς περιγίγνεσθαι χρὴ οἷον πίπτοντα, δεῖ δὲ αὐτοῖς καὶ τέχνης ἐς τὸ ἄλλοτε ἄλλως ἄγχειν, οἱ δὲ αὐτοὶ καὶ σφυρῷ προσπαλαίουσι καὶ τὴν χεῖρα στρεβλοῦσι, προσόντος τοῦ παίειν καὶ ἐνάλλεσθαι· ταυτὶ γὰρ τοῦ παγκρατιάζειν ἔργα πλὴν τοῦ δάκνειν καὶ ὀρύττειν. Λακεδαιμόνιοι μὲν οὖν καὶ ταῦτα νομίζουσιν ἀπογυμνάζοντες, οἶμαι, ἑαυτοὺς ἐς τὰς μάχας, Ἠλεῖοι δὲ καὶ οἱ ἀγῶνες ταυτὶ μὲν ἀφαιροῦσι, τὸ δὲ ἄγχειν ἐπαινοῦσιν. ὅθεν τὸν Ἀρριχίωνα μέσον ἤδη
ἠρηκὼς ὁ ἀντίπαλος ἀποκτεῖναι ἔγνω καὶ τὸν μὲν πῆχυν τῇ δειρῇ ἐνέβαλεν ἀποφράττων αὐτῷ τὸ ἄσθμα, τὰ σκέλη δὲ τοῖς βουβῶσιν ἐναρμόσας καὶ περιδιείρας ἐς ἑκατέραν ἀγκύλην ἄκρῳ τῷ πόδε τῷ μὲν πνίγματι ἔφθη αὐτὸν ὑπνηλοῦ τοῦ ἐντεῦθεν θανάτου τοῖς αἰσθητηρίοις ἐντρέχοντος, τῇ δὲ ἐπιτάσει τῶν σκελῶν ἀνειμένῃ χρησάμενος οὐκ ἔφθη τὸν λῃσμὸν τοῦ Ἀρριχίωνος· ἐκλακτίσας γὰρ τὸν ταρσὸν τοῦ ποδὸς Ἀρριχίων, ὑφ' οὗ ἐκινδύνευεν αὐτῷ τὰ δεξιὰ κρεμαννυμένης ἤδη τῆς
ἀγκύλης ἐκεῖνον μὲν συνέχει τῷ βουβῶνι ὡς οὐκέτ' ἀντίπαλον, τοῖς δέ γε ἀριστεροῖς ἐνιζήσας καὶ τὸ περὶ τὸ ἄκρον τοῦ ποδὸς ἐναποκλείσας τῇ ἀγκύλῃ οὐκ ἐᾷ μένειν τῷ σφυρῷ τὸν ἀστράγαλον
63 ὑπὸ τῆς ἐς τὸ ἔξω βιαίου ἀποστροφῆς, ἡ γὰρ ψυχὴ ἀπιοῦσα τοῦ σώματος ἀδρανὲς μὲν αὐτὸ ἐργάζεται, δίδωσι δὲ αὐτῷ ἰσχύειν ἐς ὃ ἀπερείδεται. γέγραπται δὲ ὁ μὲν ἀποπνίξας νεκρῷ εἰκάσαι

VI. 1. εἰς αὐτὰ. μ. 2. αὐτῷ. C, EJ. Sc: αὐτὸ. ib. Ἀριχίων. φ. Ἀρριχίωνι. π. ib. οὑτοσίν. μ. 3. Ἑλληνοδίκης. π, ρ et vd. sec. m. ib. προσειρήσθαι. j. 4. στάδιον — τοσοῦτον om. ψ. ib. στάδιον δὲ. J. ib. δίδωσιν ἔνθα ἐναπλῇ αὐλῶν. π. ἁπαλῇ. l. ἁπλῇ. g. ἁπλῇ. ς. ib. καὶ om. γ. 5. ποταμὸς. vd. ib. ἠχεῖται. j. 6. An παρατεθήλασιν? ib. καὶ om. l. ib. τῶν om. l. ib. σελήνων. μ. ib. ταυτὶ — ἕτερα. v. 7. ἐπισκεψώμεθα. v, μ. ib. ἔργον τοῦ. f, p. ἔργον τὸ τοῦ. ς. 8. αὐτῶ. br. ib. πρινὴ. j. 9. βοῶσιν οὖν. μ. ib. θώκων. vd. 10. ἱλαρὸν. f, j, br, J. ἱλαροὶ. ς. ib. ὄντως. f, j. ib. ἐπιπληκτὰ. γ. ἐπιπληκτικὰ. g. 11. ἀναγαγεῖν. ρ. 12. μεγάλου — χῶρον. v. ib. δὴ om. π. 13. κτησαμένης. v, l. ib. εἰς τὸν τῶν Ὀλυμπίων. φ. ib. αὐτῇ τῇ κόνει. φ, vd. ib. μὴ δὲ. C, J. μὴ. E. ib. μὴ — νίκης. v. 14. τοῦτω. π. ib. προὐνοήθη τῆς νίκης καὶ τὸ π. f, p, EJ. προυνοήθη καὶ τὸ πάλ. vd, φ, 2, 3. ib. τῆς νίκης. vd, φ, 2, 3. Deest in f, p, EJ. τὸ πάλαισμα οὐκ ἀγνοήσεις. EJ. ib. παγκρατίζοντες. j. 15. παλάμῃ. f, j et p ante corr. ib. ὑπωπιασμῶν. p, f. ὑπωπισμῶν. j. ὑποπτιασμῶν. γ. ib. οἱ. m, o. εἰ. ε. ib. οὐκ. μ. 16. ἐν οἷς. φ. ib. περιγίγνεσθαι. l, j. περιγίνεσθαι. ς. ib. οἱ πίπτοντα. π. ib. καὶ — ἐνάλλεσθαι. v. 17. ἀποστρεβλοῦσι. v. 18. ἐναλλάττεσθαι. γ. ib. καὶ ὀρύττειν. l, m. γρ. J. ἢ ῥύττειν. o. ἢ ὀρύττειν. ς. 19. Λακεδαιμονίοις. mg. l. ib. οὖν om. μ. ib. ἀπογυμνάζουσιν. suprasc. οντες. g. ib. ἐς. p, φ, J. εἰς. ς. 20. καὶ οἱ ἀγῶνες. l. καὶ ἀγῶνες. f et p ante corr. ἀγῶνες. vd, φ, 2, 3, EJ. ib. ταυτά. π. ib. ἄρχειν. φ. ib. ὅθεν — χειρί. h. 21. ἤδη τῇ. f, j, p. ib. πηχῆ. j. ib. δειρί. φ. ib. ἀποσφάττον. l. ib. αὐτὸ τὸ. ρ. 22. ἐς ἑκ. φ. 23. τὸ ἐντεῦθεν. f, J. ib τῆδε. m, o. 24. ἐπιστάσει. φ. ib. ἀνημένῃ. j. ib. γρ. λυγισμὸν. m, inde o, J. ib. ὑπὸ τοῦ. vd. 25. ἐφ' οὗ. φ. 26. ἐκεῖνος. f, j, l, h. ib. συνέχει. μ, ρ, h. ib. βουβῶνι οὐκέτ'. φ. 27. τὸ περιττὸν. l, h. περὶ τὸ deleverim. ib. ἄκρον suprasc. ου. p. ib. τὴν ἀστραγάλην. j. 28. ἀναστροφῆς. φ. ἀποστροφῆς, υ suprasc. f. ὑποστροφῆς. vd. 29. δὲ αὐτὸ. vd, j, p, π. ib. ἀπερίδεται. br.

62, 63. p. 818, 819. II, 6.

καὶ τὸ ἀπαγορεῦον ἐπισημαίνων τῇ χειρί, ὁ δὲ Ἀρριχίων ὅσα οἱ νικῶντες γέγραπται, καὶ γὰρ το αἷμα ἐν τῷ ἄνθει καὶ ὁ ἱδρὼς ἀκραιφνὴς ἔτι, καὶ μειδιᾷ, καθάπερ οἱ ζῶντες, ἐπειδὰν νίκης αἰσθάνωνται.

ΑΝΤΙΛΟΧΟΣ.

ξ. Τὸν Ἀχιλλέα ἐρᾶν τοῦ Ἀντιλόχου πεφώρακας, οἶμαι, παρ' Ὁμήρῳ, νεώτατον τοῦ Ἑλληνικοῦ ὁρῶν τὸν Ἀντίλοχον, καὶ τὸ ἡμιτάλαντον τοῦ χρυσοῦ ἐννοῶν τὸ ἐπὶ τῷ ἀγῶνι, καὶ ἀπαγγέλλει τῷ Ἀχιλλεῖ κεῖσθαι τὸν Πάτροκλον σοφισαμένου τοῦ Μενέλεω παραμυθίαν ὁμοῦ τῇ ἀγγελίᾳ, μεταβλέψαντος τοῦ Ἀχιλλέως ἐς τὰ παιδικά, καὶ θρηνεῖ ἐρωμένου ἐπὶ τῷ πένθει καὶ συνέχει τὼ χεῖρε, μὴ ἀποκτείνῃ ἑαυτόν, ὁ δ', οἶμαι, καὶ ἁπτομένῳ χαίρει καὶ δακρύοντι. ταῦτα μὲν οὖν Ὁμήρου γραφαί, τὸ δὲ τοῦ ζωγράφου δρᾶμα· ὁ Μέμνων ἐξ Αἰθιοπίας ἀφικόμενος κτείνει τὸν Ἀντίλοχον προβεβλημένον τοῦ πατρὸς καὶ τοὺς Ἀχαιοὺς οἷον δεῖμα ἐκπλήττει, πρὸ γὰρ τοῦ Μέμνονος μῦθος οἱ μέλανες, κρατοῦντες δὲ οἱ Ἀχαιοὶ τοῦ σώματος ὀδύρονται τὸν Ἀντίλοχον οἱ Ἀτρεῖδαι καὶ ὁ ἐκ τῆς Ἰθάκης καὶ ὁ τοῦ Τυδέως καὶ οἱ ὁμώνυμοι, ἐπίδηλος δὲ ὁ μὲν Ἰθακήσιος ἀπὸ τοῦ στρυφνοῦ καὶ ἐγρηγορότος, ὁ δὲ Μενέλεως ἀπὸ τοῦ ἡμέρου, ὁ δὲ Ἀγαμέμνων ἀπὸ τοῦ ἐνθέου, τὸν δὲ τοῦ Τυδέως ἡ ἐλευθερία γράφει, γνωρίζοις δ' ἂν καὶ τὸν Τελαμώνιον ἀπὸ τοῦ βλοσυροῦ καὶ τὸν Λοκρὸν ἀπὸ τοῦ ἑτοίμου. καὶ ἡ στρατιὰ πενθεῖ τὸ μειράκιον περιεστῶτες αὐτὸ θρήνῳ ἅμα, πήξαντες δὲ τὰς 64
821 αἰχμὰς ἐς τοὔδαφος ἐναλλάττουσι τῷ πόδε καὶ στηρίζονται ἐπὶ τῶν αἰχμῶν ἀπερείσαντες οἱ πλεῖστοι δυσφορούσας τὰς κεφαλὰς τῷ ἄχει. τὸν Ἀχιλλέα μὴ ἀπὸ τῆς κόμης, οἴχεται γὰρ τοῦτο αὐτῷ μετὰ τὸν Πάτροκλον, ἀλλὰ τὸ εἶδος αὐτὸν ἐνδεικνύτω καὶ τὸ μέγεθος καὶ αὐτὸ τὸ μὴ κομᾶν. θρηνεῖ δὲ προσκείμενος τοῖς στέρνοις τοῦ Ἀντιλόχου, καὶ πυράν, οἶμαι, ἐπαγγέλλεται καὶ τὰ ἐς αὐτὴν καὶ τὰ ὅπλα ἴσως καὶ τὴν κεφαλὴν τοῦ Μέμνονος, ἀποτῖσαι γὰρ καὶ τὸν Μέμνονα ὅσα τὸν Ἕκτορα, ὡς μηδὲ ταῦτα ὁ Ἀντίλοχος ἔλαττον τοῦ Πατρόκλου ἔχοι. ὁ δ' ἐν τῷ τῶν Αἰθιόπων στρατῷ δεινὸς ἕστηκεν ἔχων αἰχμὴν καὶ λεοντῆν ἐνημμένος καὶ σεσηρὼς ἐς τὸν Ἀχιλλέα. σκεψώμεθα δ' αὖ καὶ τὸν Ἀντίλοχον· ἠβάσκει μὲν ὑπήνης πρόσω, κομᾷ δὲ ἐν ἡλιώσῃ κόμῃ. κοῦφος ἡ κνήμη καὶ τὸ σῶμα σύμμετρον ἐς ῥᾳστώνην τοῦ δρόμου καὶ τὸ αἷμα δὲ οἷον ἐπ' ἐλέφαντι χρῶμα ἤνθηκεν ἐσπεσούσης αὐτῷ κατὰ τοῦ στέρνου τῆς αἰχμῆς. κεῖται δὲ οὐ κατηφὲς τὸ μειράκιον, οὐδὲ νεκρῷ εἰκάσαι, φαιδρὸν δὲ καὶ μειδιῶν, τὴν γάρ, οἶμαι, χαρὰν τὴν ἐπὶ τῷ τὸν πατέρα σῶσαι φέρων ἐν τῷ εἴδει ὁ Ἀντίλοχος ἀπώλετο ὑπὸ τῆς αἰχμῆς, καὶ τὸ πρόσωπον ἡ ψυχὴ κατέλιπεν οὐχ ὡς ἥλγησεν, ἀλλ' ὡς ἐπεκράτησε τὸ εὐφραῖνον.

1. ἐπισημαίνον. l. τῇ χειρὶ ἐπισημ. h. ib. ὁ δὲ — γέγραπται. v. ib. νυκῖνες. v. ib. γὰρ om. br. 2. ἐπειδὴ. o. ib. αἰσθωνται. vd.

VII. 7. τοῦ Ἀχιλλ. j. (non f.) Ἀχιλλ. ς. ib. εἰς παιδικὰ. φ, 2, π, ψ. ἐς om. vd. ubi legitur τὰ εἰς παιδικοὺς. l. ib. ἐρρωμένου. br. ἐρώμενος. vd. corr. sec. m. Fo: καὶ ὁ μὲν θρ. ἐ. s. ὅδ'. E. ib. αὐτὰ. C, E. αὐταὶ conj. J. Sc: ταῦτα. 9. ἀφικόμενος om. ρ. 10. πρὸ — μέλανες. v. ib. Ἀγαμέμνονος. γ, g. 12. τῆς om. vd. eras. p et τοῦ item. Malui ἐκ delere in lect. C, E: ὁ ἐκ τοῦ Τυδέως. 13. Μενέλαος. br, J. ib. Ἀγ. ἀπὸ τοῦ συλικοῦ. vd. An βασιλικοῦ? ib. ἡ om. l. 14. γνωρίζεις δ' ἂν. φ. ib. βλοσυροῦ. π, ρ. 15. αὐτῷ. f, j, p et φ ante corr. 16. ὑπὸ τῶν. l, π. 18. ἐκδεικνύτω. j, φ, ρ. ib. κοσμαν. sic. vd. 19. παρακείμενος. l. ib. στέρνοις Ἀντιλόχου. φ. ib. ἐπαγγέλλεται αὐτῷ. EJ. 20. ἴσως τὴν. φ. ib. ἀποτίσαι. p, vd, J. ἀποκτεῖναι. f, j. ἀποτῖναι. φ, ρ. ἀποτίναι. 2, E. Sc: ἀποτῖσαι. 21. ὡς μὴ καὶ ταῦτα. φ. ib. τῶν om. br. ib. ἔχει. π. 22. δεινῶς ἕνεκεν. φ. ib. λεοντήν. μ. ib. σκεψώμεθα δ' αὖ. φ. σκεψώμεθα οὖν. ς. 23. ἠβάσκει — δρόμου. h. ib. δὲ καὶ ἐν. vd, φ, ρ, π et p ex corr. ib. καὶ κοῦφος. EJ. ib. κῦφος. φ. 24. τὸ αἷμα οἷον. l. π, ρ, γ, g. τὸ αἷμα δὲ οἷον. ς. 25. ἤνθηκεν om. vd, φ, π, ρ. ib. ἐσπεσούσης. C. ἐμπεσούσης. EJ. ib. κεῖται — μειδιῶν. v. ib. κατηρεφὲς. l. 26. νεκρὸν εἰκάσαι. v. ib. φαιδρὸν δὲ. v, et conj. J. φαιδρόν τι. 1, 2 (in μ ante φαιδρὸν legitur ἀλλὰ rubro atramento scriptum, in p 2706 idem in ordine.) φαιδρόν τε. 3, EJ. ib. ἐπὶ τὸν πατ. γ. 27. ὁ om. vd. 28. ὑπερκράτησε. π.

64. p. 821. II, 7.

ΜΕΛΗΣ.

65 ἡ. Τὸ μὲν τοῦ Ἐνιπέως καὶ ὡς ἥρα ἡ Τυρὼ τοῦ ὕδατος, Ὁμήρῳ λέλεκται, λέγει δὲ καὶ ἀπάτην τὴν ἐκ Ποσειδῶνος καὶ τὸ ἄνθος τοῦ κύματος, ὑφ' ᾧ ἡ εὐνή, οὑτοσὶ δὲ ὁ λόγος ἕτερος, οὐκ ἐκ Θετταλίας, ἀλλ' Ἰωνικός· ἐρᾷ ἡ Κριθηὶς ἐν Ἰωνίᾳ τοῦ Μέλητος, ὁ δ' ἐφήβῳ ἔοικε καὶ ὁρᾶται τῷ θεατῇ ὅλος, ἐκεῖ ἐκβάλλων ὅθεν ἄρχεται. πίνει δὲ οὐ διψῶσα καὶ λαμβάνεται τοῦ ὕδα- 822
τος καὶ κελαρύζοντι προσδιαλέγεται καθάπερ λαλοῦντι, δάκρυα δὲ λείβει ἐρωτικὰ τῷ ὕδατι, καὶ 5
ὁ ποταμός, ἀντερᾷ γάρ, χαίρει αὐτῶν τῇ κράσει. χαρίεν μὲν οὖν τῆς γραφῆς αὐτὸς ὁ Μέλης ἐν κρόκῳ καὶ λωτῷ κείμενος καὶ ὑακίνθῳ χαίρων δι' ἡλικίαν τοῦ ἄνθους καὶ παρεχόμενος εἶδος ἁβρὸν καὶ μειρακιῶδες καὶ οὐδὲ ἄσοφον — εἴποις ἂν τοὺς ὀφθαλμοὺς τοῦ Μέλητος ἀνασκοπεῖν τι τῶν ποιητικῶν — χαρίεν δὲ αὐτοῦ καὶ ὅτι μὴ λάβρους τὰς πηγὰς ἐκδίδωσι, καθάπερ τοὺς ἀμα- θεῖς τῶν ποταμῶν γράφεσθαι νόμος, ἀλλὰ τὴν γῆν ἄκροις τοῖς δακτύλοις διαμώμενος ὑπέχει τὴν 10
χεῖρα τῷ ὕδατι ἀψοφητὶ βλύζοντι, καὶ ὁρᾶται ἡμῖν, ὡς τῇ γε Κριθηίδι, ὕδωρ οὗτος, καὶ παρακά- θηται ὀνείρατι, ὥς φασιν. ἀλλ' οὐκ ὄναρ ταῦτα, ὦ Κριθηίς, οὐδὲ ἐς ὕδωρ τὸν ἔρωτα τοῦτον γράφεις, ἐρᾷ γάρ σου ὁ ποταμός, εὖ οἶδα, καὶ σοφίζεταί τινα ὑμῖν θάλαμον, κῦμα αἴρων, ὑφ' ᾧ ἡ εὐνὴ ἔσται. εἰ δὲ ἀπιστεῖς, λέξω σοι καὶ τὴν τοῦ θαλάμου τέχνην· λεπτὴ αὔρα κῦμα ὑπο- δραμοῦσα ἐργάζεται αὐτὸ κυρτὸν καὶ περιεχὲς καὶ ἀνθηρὸν ἔτι, ἡ γὰρ ἀνταύγεια τοῦ ἡλίου χρῶμα 15
προσβάλλει μετεώρῳ τῷ ὕδατι. τί οὖν, ὦ παῖ, λαμβάνῃ μου; τί δ' οὐκ ἐᾷς καὶ τὰ λοιπὰ διεξιέ- ναι τῆς γραφῆς; εἰ βούλει, καὶ τὴν Κριθηίδα διαγράψωμεν, ἐπειδὴ χαίρειν φῄς, ὅταν ἐναλύῃ 823
66 αὐτοῖς ὁ λόγος. λεγέσθω τοίνυν· ἁβρὸν μὲν αὐτῇ τὸ εἶδος καὶ μάλα Ἰωνικόν, αἰδὼς δὲ τῷ εἴδει ἐπιπρέπει καὶ ἀπόχρη τοῦτο τῇ παρειᾷ τὸ ἄνθος, ἡ χαίτη δὲ ἀνείληπται μὲν ὑπὸ τὸ οὖς, ἐπικο- σμεῖται δὲ καὶ κρηδέμνῳ ἁλουργεῖ. δῶρον Νηρηίδος ἢ ναίδος οἶμαι εἶναι τὸ κρήδεμνον, εἰκὸς γὰρ 20
συγχορεύειν τὰς θεὰς ἐπὶ τῷ Μέλητι παρεχομένῳ τὰς πηγὰς οὐ πόρρω τῶν ἐκβολῶν. βλέπει δὲ οὕτω τι ἡδὺ καὶ ἀφελές, ὡς μηδὲ ὑπὸ τῶν δακρύων ἐξαλλάττειν τὸ ἵλεων, καὶ ἡ δέρη ἔτι ἡδίων ὑπὸ τοῦ μὴ κεκοσμῆσθαι· ὅρμοι γὰρ καὶ αὐγαὶ λίθων καὶ περιδέραια ταῖς μὲν ἐν μετρίῳ τῷ κάλλει γυναιξὶν οὐκ ἀηδῶς προσανθοῦσι, καί, νὴ Δί', ὥρας τι ἐς αὐτὰς φέρουσιν, αἰσχραῖς δὲ καὶ ἄγαν ὡραίαις ἀντιπράττουσι, τὰς μὲν γὰρ ἐλέγχουσι, τῶν δὲ ἀπάγουσι. τῷ χεῖρε ἀνασκοπῶμεν· ἁπαλοὶ 25
οἱ δάκτυλοι καὶ εὐμήκεις καὶ λευκοὶ κατὰ τὴν ὠλένην, ὁρᾷς δὲ καὶ τὴν ὠλένην, ὡς διὰ λευκῆς τῆς ἐσθῆτος λευκοτέρα ὑποφαίνεται, καὶ οἱ μαζοὶ ὀρθοὶ ὑπανυγάζουσι. τί οὖν αἱ Μοῦσαι δεῦρο; τί δὲ ἐπὶ ταῖς πηγαῖς τοῦ Μέλητος; Ἀθηναῖοι τὴν Ἰωνίαν ὅτε ἀπῴκιζον, Μοῦσαι ἡγοῦντο τοῦ ναυτικοῦ ἐν εἴδει μελιττῶν, ἔχαιρον γὰρ τῇ Ἰωνίᾳ διὰ τὸν Μέλητα ὡς Κηφισοῦ καὶ Ὀλμειοῦ πο-

VIII. 1. λ. δὲ καὶ. vd. φ, 3, EJ. λ. δὲ. f, p, 2. 2. τὴν om. 1, 2. ib. ὑφ' ὧν. j. ὑφ' ὃ. π. ib. ἕτερος om. 2. 3. οὐκ — Ἰωνικός om. π, ρ. ib. Κρηθηὶς. φ, vd, ut infra. ib. ὅδ'. E. 4. θεατῇ ὁ λόγος. l, br. ib. ἐμβάλλων. m, o. 5. κελαρίζοντι, j, br. 6. αὐτῷ. l. ib. κράτει. μ. ib. χαρίεν — κείμενος. v. ib. μὲν γὰρ. v. ante corr. ib. αὐτὸς ἐν κρ. vd. 7. κρόκῳ. vd. ib. καὶ ἐν. λ. vd. ib. ὁ μὲν καὶ ὑακ. vd. ib. χαίρει. l. 8. οὐδὲν. l. ib. ἀναπολεῖν. m, o, in p 1761 pro scholio est adscriptum. 9. χαρίεν — ἐκδίδωσι. v. ib. λαύρους. l, μ, ρ, π, ψ. 10. ἄκραν. f, j. 11. βλήζοντι. br. et γ ante corr. 13. ἡμῖν. φ. ib. ὑφ' ὧν. γ, g. ἐφ' ᾧ. vd. 14. αὖρα. br, E. ω 15. περιηχές. f, j, p. 16. προβάλλει. γ. ib. τί δ' οὐκ ἔκων καὶ. φ (sic). 17. διαγράψομεν. vd. ib. ἀναλύῃ. vd. 18. αὐτοῖς. 1, π, ψ, ρ. αὐτὰς. γ, g. αὐτῆς. μ, p 1761. αὐτῇ. EJ. ib. ἁβρὸν — ἐπιπρέπει. v. ἁβρὸν — κρήδεμνον. h. ib. καὶ τῷ εἴδει. μ. 19. ἐπιτρέπει. ρ. ib. ἀπέληπται. br. ἐνείληπται π. 20. νηριίδος. br. ib. οἶμαι om. π. εἶναι om. vd. 21. τοῖς θεοῖς. φ. ib. βλέπει — ἵλεων. v. 22. τι om. v. ib. ὡς μὴ. φ. 23. ὅρμοι — ἀπάγουσι. v, h et Isid. Pel. p. 619. ib. ὁρμοὶ. f, j, E. ὅρμ. δὲ. f. ib. γὰρ om. v. ib. αὐλαὶ. l. ib. περιδέραια. f, π, ρ, h. 24. ἀηδές. v, h. ἀειδῶς. E. corr. Ham. Lect. Philostr. p. 38. ib. καὶ νὴ – φέρουσι om. vd. ib. νὴ Δία. ρ, h. ib. ἐς ταύτας. π. ib. αἰσχροῖς. br. ib. δὲ om. π. 25. ὡραίαις om. br. ib. τὰς μὲν. p, v, h, Isid. Pel. et conj. J. τὰ μὲν. ς. (f, j.) ib. ἀπάδουσι ex corr. π. 27. λευκότερα. m, o. ib. ἀπαυγάζουσι. l. 28. Μέλιττος et 29 Μέλιττα. br. Μέλιτος. vd. corr. ex μελιττῶν. pr. m. ib. Ἀθηναίοις p ex corr. 29. Κηφισοῦ. f, j, p, μ, π, ψ, J. Κηφίσου. φ. Κηφισσοῦ. ς. ib. Ὁλμειοῦ. μ.

65, 66. p. 822, 823. II, 8.

τιμώτερον. ἐντεύξῃ μὲν οὖν αὐταῖς καὶ χορευούσαις ποτὲ ἐνταῦθα, νυνὶ δὲ γένεσιν τῷ Ὁμήρῳ αἱ Μοῦσαι κλώθουσι Μοίραις δοκοῦν, καὶ δώσει διὰ τοῦ παιδὸς ὁ Μέλης Πηνειῷ μὲν ἀργυροδίνῃ
824 εἶναι, Τιταρησίῳ δὲ κούφῳ καὶ εὐφόρῳ, Ἐνιπεῖ δὲ θείῳ καὶ Ἀξίῳ παγκάλῳ, δώσει δὲ καὶ Ξάνθῳ τὸ ἐκ Διὸς καὶ Ὠκεανῷ τὸ ἐξ αὐτοῦ πάντας.

ΠΑΝΘΙΑ.

Θ'. Πανθία ἡ καλὴ Ξενοφῶντι μὲν ἀπὸ τοῦ ἤθους γέγραπται, ὅτι τε Ἀράσπαν ἀπηξίου καὶ 67
Κύρου οὐχ ἡττᾶτο καὶ Ἀβραδάτῃ ἐβούλετο κοινὴν γῆν ἐπισπάσασθαι, ὁποία δὲ ἡ κόμη καὶ ἡ ὀφρὺς ὅση καὶ οἷον ἔβλεπε καὶ ὡς εἶχε τοῦ στόματος, οὕπω ὁ Ξενοφῶν εἴρηκε καίτοι δεινὸς ὢν περιλαλῆσαι ταῦτα, ἀλλ' ἀνὴρ ξυγγράφειν μὲν οὐχ ἱκανός, γράφειν δὲ ἱκανώτατος, αὐτῇ μὲν Πανθίᾳ οὐκ ἐντυχών, Ξενοφῶντι δὲ ὁμιλήσας γράφει τὴν Πανθίαν, ὁποίαν τῇ ψυχῇ ἐτεκμήρατο. τὰ τείχη,
ὦ παῖ, καὶ τὰς ἐμπιπραμένας οἰκίας καὶ αἱ Λυδαὶ αἱ καλαί, Πέρσαις ταῦτα ἀφῶμεν ἄγειν τε καὶ
825 αἴρειν, ὅ τι αὐτῶν ἁλωτόν. καὶ ὁ Κροῖσος, ἐφ' ὃν ἡ πυρά, οὐχὶ αὐτῷ Ξενοφῶντι. οὔκουν οἶδεν αὐτὸν ἢ ξυγχωρεῖ τῷ Κύρῳ. τὸν δὲ Ἀβραδάτην καὶ τὴν ἀποθανοῦσαν ἐπ' αὐτῷ Πανθίαν, ἐπειδὴ ταῦτα ἡ γραφὴ βούλεται, διασκεψώμεθα, οἷον τὸ δρᾶμα· ἥρων οὗτοι ἀλλήλων καὶ τὸν κόσμον ἡ γυνὴ τὸν ἑαυτῆς ὅπλα αὐτῷ ἐποιεῖτο, ἐμάχετο δὲ ἄρα ὑπὲρ Κύρου πρὸς Κροῖσον ἐπὶ τετραρρύμου
ἅρματος καὶ ἵππων οὐκτὼ νέος ἔτι ἐν ἁπαλῇ τῇ ὑπήνῃ, ὁπότε καὶ οἱ ποιηταὶ τὰ δένδρα [τὰ νέα] ἐλεεινὰ ἡγοῦνται τῆς γῆς ἐκπεσόντα. τὰ μὲν δὴ τραύματα, ὦ παῖ, οἷα ἐκ μαχαιροφόρων, τὸ γὰρ κατακόπτειν πρὸς τρόπου τῇ τοιαύτῃ μάχῃ, τοῦ δὲ αἵματος ἀκραιφνοῦς ὄντος τὸ μὲν τὰ ὅπλα χραίνει, τὸ δ' αὐτόν, ἔστι δ' ὃ καὶ διέρρανται κατὰ τοῦ λόφου, ὁ δὲ ἄρα χρυσοῦ τοῦ κράνους ἀνέστηκεν ὑακίνθινος αὐτῷ τῷ χρυσῷ ἐπαστράπτων. καλὰ μὲν οὖν ἐντάφια καὶ ταυτὶ τὰ ὅπλα τῷ
γε μὴ καταισχύναντι αὐτά, μηδὲ ἀποβαλόντι ἐν τῇ μάχῃ, πολλὰ δὲ Ἀσσύριά τε καὶ Λύδια Κῦρος 68
ἀνδρὶ ἀγαθῷ δῶρα ἀπάγει τά τε ἄλλα καὶ ψάμμον χρυσῆν ἐπὶ ἁρμαμάξης ἐκ θησαυρῶν Κροίσου τῶν ἀργῶν, Πανθία δὲ οὕπω τὰ πρόσφορα ἔχειν ἡγεῖται τὸν τάφον, εἰ μὴ ἐντάφιον τῷ Ἀβραδάτῃ αὐτὴ γένοιτο. τὸν μὲν δὴ ἀκινάκην διελήλακεν ἤδη τοῦ στέρνου, ἀλλ' οὕτω τι δὴ ἐρρωμένως, ὡς μηδὲ οἰμωγὴν ἐπ' αὐτῷ ῥῆξαι. κεῖται γοῦν, τὸ στόμα ξυμμετρίαν τὴν ἑαυτοῦ φυλάττον, καί,
νὴ Δί', ὥραν, ἧς τὸ ἄνθος οὕτω τι ἐπὶ χείλεσιν, ὡς καὶ σιωπώσης ἐκφαίνεσθαι. ἀνήρτηται δὲ οὕπω τὸν ἀκινάκην, ἀλλ' ἐνερείδει ἔτι συνέχουσα τῆς κώπης αὐτόν, ἡ δὲ κώπη ῥοπάλῳ χρυσῷ εἴκασται σμαραγδίνῳ τοὺς ὄζους. ἀλλ' ἠδίους οἱ δάκτυλοι, μεταβέβληκέ τε οὐδὲν τοῦ εἴδους ὑπὸ τοῦ ἀλγεῖν, ἥ γε μηδὲ ἀλγεῖν ἔοικεν, ἀλλ' ἀπιέναι χαίρουσα, ὅτι αὐτὴν πέμπει, ἄπεισι δὲ

1. χορεύουσαι. br. ποτε om. l, br, o. 3. Τιταρησίῳ. j, vd et f ex corr. rec. m. J. Τιταρήσῳ. ς. ib. Ἀξιῷ. π. Ἀξίῳ. ς. ib. παγκάλλω. μ. καὶ ἄξω καὶ παγαγκάλω. vd. ib. δὲ καὶ Ξ. vd. καὶ Ξ. ς. 4. τὸ et ω suprasc. ρ.
IX. 5. Πάνθεια. π, ut semper. ib. Ἀράσπαν. π. 6. κόρου. vd. ib. γῆν om. ρ. ib. ἐπισπάσασθαι. π, ψ, ρ. σπάσασθαι. ς. ἐπιέσασθαι. Hemst. ad Hesych. I, 1352. ἀσπάσασθαι. Salm. 8. ἀλλ' ἀνὴρ. vd, φ, π. ἀλλὰ ἀνὴρ. ς. ib. αὐτῇ μὲν Πανθίᾳ. 1, μ, br, ρ. αὐτῇ μὲν τῇ Π. ς. 9. τὴν ψυχὴν. f, j. 10. ἄγειν τε καὶ φέρειν. Salm. 11. αὐτῷ. ρ. τῶν. br. 12. καὶ ξυγχ. j. (non f.) ib. ξυγχωρεῖν. br. ib. Ἀβραδάταν. μ. 14. τὸν ἑαυτοῦ. vd. ib. ἑαυτῇ ἐποιεῖτο. φ. ib. τετραρύμου. f, φ, vd, π, ρ. 15. Respicit haec Aristaenet. II, 19. p. 185. ed. B. ib. ὁποῖα. γ. ib. τὰ δένδρα τὰ νέα. C, E. τὰ νέα delenda censet J. ib. ἐλεεῖν. m. 16. τὰ μὲν — μάχῃ. v. ib. μαχαιροφόρων. v. μαχαιροφόρου. vd. ib. τὸ κατακόπτειν. φ. τὸ γὰρ κόπτειν. v. 18. τόδ'. E. ib. χρυσοῦ κράνους. 2, 3. χρυσόκρανος. f, j. χρυσῷ κράνους. p, vd, φ. χρυσοῦ τοῦ κράνους. EJ. 19. ὑακίνθιος. br. ib. καλὰ — αὐτὰ. v. 20. γε μὲν. γ. ib. καταισχύναντι. f, j, p, vd. J. αἰσχύναντι. φ, 2, 3, E. 21. ἐπάγει. μ, p 1761, π. ib. ἅρμα ἁμάξης. ρ, ψ. ἁμάξης. φ, vd. ib. θησαυροῦ. γ, g. 22. Πανθία — γένοιτο. v. ib. ἔχειν ἡγεῖται τὰ πρόσφορα. v. ib. τὰ om. vd. ib. ἐκτάφιον. φ. 23. αὐτὴ γε γένοιτο. EJ. αὐτὴ ἐγένετο. vd. ib. διελήλακεν ἤδη. f, j, p. ἤδη ἐλήλακε. vd. ἤδη διελήλακεν. φ, 2, 3, EJ. ib. οὕτω
α
τι δὴ. l, 2, o. οὕτω τι. f, j, π, ρ, J. οὕτω τι (sic). vd. ἔστω τι. φ. οὕτω τοι. p, γ, g, ψ. οὕτω δὴ. br, ε. οὕτω διερρωμ. m. ib. ἐρρωμένος. φ. 24. οὖν. π. 25. Δία. π. ib. οὕτω τοι. p, g et γ ex corr. 26. ἐρείδει. 2 (ἐρίδει p 2706). ib. ἔτι om. br. ib. ξυνέχουσα. φ, p 1761. 27. μεταβέβληκε δὲ. 2, EJ. ib. οὐδὲ. vd. 28. ἡ δὲ μὴ δὲ. vd.

67, 68. p. 821, 825. II, 9.

οὐχ ὥσπερ ἡ τοῦ Πρωτεσίλεω καταστεφθεῖσα οἷς ἐβάκχευσεν, οὐδ' ὥσπερ ἡ τοῦ Καπανέως οἷον 826
θυσίας ἀρθεῖσα, ἀλλ' ἀσκεύαστον τὸ κάλλος καὶ οἷον ἐπὶ τοῦ Ἀβραδάτου ἦν, φυλάττει αὐτὸ καὶ
ἀπάγει χαίτην μὲν οὔπω μέλαιναν τε καὶ ἀμφιλαφῆ περιχέουσα τοῖς ὤμοις καὶ τῷ αὐχένι, δέρην
δὲ λευκὴν ὑπεκφαίνουσα, ἣν ἐδρύψατο μέν, οὐ μὴν ὡς αἰσχῦναι, τὰ γὰρ σημεῖα τῶν ὀνύχων
ἡδίω γραφῆς. τὸ δὲ ἐν τῇ παρειᾷ ἔρευθος οὐδὲ ἀποθνήσκουσαν διαφεύγει, χορηγοὶ δὲ αὐτοῦ ἥ τε 5
ὥρα καὶ ἡ αἰδώς. ἰδοὺ καὶ μυκτῆρες ἀνεσταλμένοι τὸ μέτριον καὶ βάσιν τῇ ῥινὶ πράττοντες, ἧς
ὥσπερ πτόρθοι μηνοειδεῖς ἐκπεφύκασιν αἱ ὀφρύες ὑπὸ λευκῷ τῷ μετώπῳ μέλαιναι. τοὺς δὲ ὀφθαλ-
69 μούς, ὦ παῖ, μὴ ἀπὸ τοῦ μεγέθους, μηδ' εἰ μέλανες, ἀλλὰ τόν τε νοῦν θεωρῶμεν, ὅσος ἐν
αὐτοῖς ἐστι καί, νὴ Δί', ὁπόσα τῶν τῆς ψυχῆς ἀγαθῶν ἔσπασαν ἐλεεινῶς μὲν διακείμενοι, τοῦ
δὲ φαιδρῶς ἔχειν οὐκ ἀπηλλαγμένοι, καὶ θαρσαλέοι μέν, λογισμοῦ δὲ ἔσω μᾶλλον ἢ τόλμης, καὶ 10
τοῦ μὲν θανάτου ξυνιέντες, οὕπω δὲ ἀπιόντες. ὀπαδὸς δὲ ἔρωτος ἵμερος οὕτω τι ἐπικέχυται τοῖς
ὀφθαλμοῖς, ὡς ἐπιδηλότατα δὴ ἀπ' αὐτῶν ἀποστάζειν. γέγραπται καὶ ὁ Ἔρως ἐν ἱστορίᾳ τοῦ ἔρ-
γου, γέγραπται δὲ καὶ ἡ Λυδία τὸ αἷμα ὑποδεχομένη καὶ χρυσῷ γε, ὡς ὁρᾷς, τῷ κόλπῳ.

ΚΑΣΑΝΔΡΑ.

ι'. Οἱ κείμενοι κατ' ἄλλος ἄλλο τοῦ ἀνδρῶνος καὶ τὸ ἀναμὶξ τῷ οἴνῳ αἷμα καὶ οἱ ἐκπνέον-
τες ἐπὶ τῶν τραπεζῶν κρατήρ τε οὑτοσὶ λελακτισμένος ὑπὸ ἀνδρός, ὃς πρὸς αὐτῷ σπαίρει, κόρη τε 15
χρησμῳδὸς τὴν στολὴν ἐς πέλεκυν ἐμπεσούμενον ἑαυτῇ βλέπουσα τὸν Ἀγαμέμνονα ἥκοντα ἐκ Τροίας
ἡ Κλυταιμνήστρα δέχεται τούτῳ τῷ τρόπῳ, καὶ τοὺς μὲν ἄλλους ἄλλοι κτείνουσιν οὕτω μεθύοντας,
ὡς καὶ τὸν Αἴγισθον θαρσῆσαι τὸ ἔργον, ἡ Κλυταιμνήστρα δὲ πέπλου τέχνῃ τινὸς ἀπείρου τὸν 827
Ἀγαμέμνονα περισχοῦσα πέλεκυν ἐς αὐτὸν ἧκεν ἀμφήκη τοῦτον, ὃς καὶ τὰ δένδρα αἱρεῖ τὰ με-
γάλα, τὴν δὲ τοῦ Πριάμου κόρην καλλίστην νομισθεῖσαν τῷ Ἀγαμέμνονι χρησμούς τε ἀπιστουμέ- 20
νους ᾄδουσαν ἀποκτείνει θερμῷ τῷ πελέκει, καὶ εἰ μὲν ὡς δρᾶμα ἐξετάζομεν, ὦ παῖ, ταῦτα, τε-
τραγῴδηται μεγάλα ἐν σμικρῷ, εἰ δ' ὡς γραφήν, πλείω ἐν αὐτοῖς ὄψει. σκόπει γάρ· λαμπτῆρες
οὗτοι χορηγοὶ φωτός, ἐν νυκτὶ γὰρ ταῦτά που, κρατῆρες δ' ἐκεῖνοι χορηγοὶ ποτοῦ φανότεροι τοῦ
70 πυρὸς οἱ χρυσοῖ, πλήρεις δὲ ὄψων τράπεζαι, βασιλεῖς ὧν ἐσιτοῦντο ἥρωες, ἐν κόσμῳ δὲ οὐδὲν
τούτων, ἀποθνήσκοντες γὰρ οἱ δαιτυμόνες τὰ μὲν λελάκτισται, τὰ δὲ συντέτριπται, τὰ δὲ ἀπ' 25
αὐτῶν κεῖται, καὶ κύλικες δὲ χειρῶν ἐκπίπτουσι πλήρεις αἱ πολλαὶ λύθρου, καὶ ἀλκὴ τῶν ἀποθνη-
σκόντων οὐδεμία, μεθύουσι γάρ. τὰ δὲ τῶν κειμένων σχήματα ὁ μὲν ἐκτέτμηται τὴν φάρυγγα σί-

1. οὐδὲ. π. 2. θυιάς velit J. ib. ἀκατασκεύαστον conj. J. ib. ἐπὶ τῷ Ἀβρ. vd. ib. φυλάττειν. γ, vd. 3. ἀπά-
γειν. vd. ib. μὲν οὖν. ρ. ib. οὔπω. π. οὕτω ς. ib. περιχέουσα. p. περιχεύασα. ρ. περιχέασα. ς. (f.) ib. παρειὰν δὲ.
l, p 1761. 4. οὐ μὴν δὲ. π. ib. αἰσχύναι. EJ. 6. ἰδοὺ — μέλαιναι. h. ib. βᾶσιν. μ. 7. πτορθοὶ. o, J. ib. μη-
νοειδεῖς ἐκπεφύκασιν. h. μηνοειδεῖς. ς. ib. τοὺς ὀφθαλμοὺς. φ. 8. θεωροῦμεν. f, br. ib. ὅσον. f, j. ib. ἐν αὐ-
ταῖς. vd. 9. τῆς ψυχῆς. f, j, J. ψυχῆς. φ, 2, 3, E. ib. ἐλεεινῶς — τόλμης. v. 10. ἀπηλαγμένοι. v. 11. ξυνιόν-
τες. φ. ib. ὀπαδὸς — ἀποστάζειν. h. ib. οὕτω τοι. γ, g, h. ἵμερος γέλωτι ἐπικεχ. p. ib. ὡς ἡμερότητα καὶ ἐπα-
γωγὸν ἀπ' αὐτῶν. vd. 12. ἐπ' αὐτῶν. m. ib. στάζειν. h. ib. γεγρ. δὲ καὶ. φ, vd. ib. ἔρως συνεργὸς τοῦ ἔργου. p.
13. γεγρ. δὲ καὶ ἡ Λυδ. φ. γεγρ. καὶ ἡ Λυδ. ς. ib. ὑποχεομένη. γ. ib. γε om. vd.

ι. 14. κατ' ἄλλο ἄλλος. o. 15. τῶν τραπεζῶν. ψ. τραπεζῶν. ς. 16. χρησμῳδὶς et mg. χρησμῳδὸς. l. ib. πέλεκιν. br.
ib. ἐκπεσούμενον. μ. ib. ἥκοντα om. π. 17. Κλυταιμνήστρα. vd. ib. οὕτω μὴ καὶ τοῖς μὲν ἄλλοις ἄλλοι κτείνουσιν
μεθύοντας. l. (sic). Inde feci: καὶ τοὺς μὲν ἄλλους ἄλλοι κτείνουσιν οὕτω μεθύοντας, ὡς καὶ κτέ. οὕτω μέθυοντα,
ὡς καὶ. ς. 18. Αἴγιστον. π. ib. θαρρῆσαι τῷ ἔργῳ. π. ib. τέχνῃ πέπλου. γ. 19. πέλεκιν. br. ib. ἔργα δένδρα. γ.
20. τὴν δὲ. l, 2, π, ψ. τήν τε. ς. 21. θερμῷ om. br. ib. εἰ μὲν — ὄψει. v. 22. πλείων. v. πλείονα. vd. ib. λαμ-
πτῆρες — χρυσοῖ. v. 23. δὲ ἐκεῖνοι. vd. ib. φανότεροι. μ, γ, ubi suprasc. ερ. E, J. φανερώτεροι. f, φ, vd, π, ρ.
φανερώτεροι et mg. φανότεροι. ψ. φανερότεροι. v. j. 24. δὲ οὐδὲν. J. τε οὐδὲν. ς. 25. δαιτημόνες. br. ib. ἐπ' αὐτῶν. E.
26. ἐκ om. vd. ib. χειρῶν ἐκπίπτουσι. vd. ἐκ χειρῶν πίπτουσι. ς. 27. οὐδὲ μία. vd, μ. ib. ἐκτέτμηκε. l. ib. τὸν
φάρυγγα — ἕλκουσαν. vd.

69, 70. p. 826, 827. 11, 10.

του τι ἢ ποτοῦ ἕλκουσαν, ὁ δ' ἀποκέκοπται τὴν κεφαλὴν ἐς τὸν κρατῆρα κύπτων, ὁ δὲ ἀπήρακται τὴν χεῖρα φέρουσαν ἔκπωμα, ὁ δὲ ἐφέλκεται τὴν τράπεζαν ἐκπεσὼν τῆς κλίνης, ὁ δ' ἐς ὦμους καὶ κεφαλὴν κεῖται, ποιητὴς ἂν φαίη κύμβαχος, ὁ δ' ἀπιστεῖ τῷ θανάτῳ, ὁ δὲ οὐκ ἔρρωται φυγεῖν οἷον πέδης ἐμβεβλημένης αὐτῷ τῆς μέθης, ὠχρὸς δὲ οὐδεὶς τῶν κειμένων, ἐπειδὴ τοὺς ἐν οἴνῳ ἀποθνήσκοντας οὐκ εὐθὺς ἀπολείπει τὸ ἄνθος. τὸ δὲ κυριώτατον τῆς σκηνῆς ὁ Ἀγαμέμνων ἔχει, 828 κείμενος οὐκ ἐν πεδίοις Τρωικοῖς, οὐδὲ ἐπὶ Σκαμάνδρου τινὸς ἠιόσιν, ἀλλ' ἐν μειρακίοις καὶ γυναίοις, βοῦς ἐπὶ φάτνῃ, τουτὶ γὰρ τὸ μετὰ τοὺς πόνους τε καὶ τὸ ἐν δείπνῳ, κυριώτερα δὲ ἐν οἴκτῳ τὰ τῆς Κασάνδρας· ὡς ἐφέστηκε μὲν αὐτῇ μετὰ τοῦ πελέκεως ἡ Κλυταιμνήστρα μανικὸν βλέπουσα καὶ σεσοβημένη τὰς χαίτας καὶ τραχεῖα τὴν ὠλένην, αὐτὴ δὲ ὡς ἁβρῶς τε καὶ ἐνθέως ἔχουσα περιπεσεῖν ὥρμηκε τῷ Ἀγαμέμνονι ῥιπτοῦσα ἀφ' αὑτῆς τὰ στέμματα καὶ οἷον περιβάλλουσα τῇ τέχνῃ αὐτόν, διηρμένου δὲ ἤδη τοῦ πελέκεως ἀναστρέφει τοὺς ὀφθαλμοὺς ἐκεῖ, βοᾷ δὲ οὕτω τι οἰκτρόν, ὡς καὶ τὸν Ἀγαμέμνονα τῷ λοιπῷ τῆς ψυχῆς ἐλεεῖν ταῦτα ἀκούοντα, μεμνήσεται γὰρ αὐτῶν καὶ ἐν ᾅδου πρὸς Ὀδυσσέα, ἐν τῇ ἀγορᾷ τῶν ψυχῶν.

ΠΑΝ.

ια'. Τὸν Πᾶνα αἱ νύμφαι πονηρῶς φασὶν ὀρχεῖσθαι καὶ ἐκπηδᾶν τοῦ προσήκοντος ἐξαίροντα 71 καὶ ἀναθρώσκοντα κατὰ τοὺς ἀγερώχους τῶν τράγων, αὗται δ' ἂν μεταδιδάξαιεν αὐτὸν ἑτέραν ὄρχησιν ἡδίω τῷ ἤθει, προσέχοντι δ' αὐταῖς οὐδέν, ἀλλὰ πειρῶντι αὐτὰς καὶ ἁπτομένῳ τῶν κόλπων ἐπιτίθενται κατὰ μεσημβρίαν, ὅτε δὴ λέγεται καθεύδειν ὁ Πὰν ἐκλελοιπὼς τὴν θήραν. ἐκάθευδε δ' ἄρα πρότερον μὲν ἀνειμένος τε καὶ πρᾷος τὴν ῥῖνα καὶ τὸ ἐπίχολον αὐτῆς λεαίνων τῷ ὕπνῳ, τήμερον δὲ ὑπερχολᾷ, προσπεσοῦσαι γὰρ αὐτῷ αἱ νύμφαι περιῆκται μὲν ἤδη τὼ χεῖρε ὁ Πάν, δέδιε δὲ ἐπὶ τοῖς σκέλεσιν, ἐπειδὴ βούλονται αἱρεῖν αὐτά. τὸ δὲ δὴ γένειον, οὗ πλεῖστος αὐτῷ λόγος, ἐξύρηται μαχαιρίδων ἐσβεβληκνιῶν ἐς αὐτό, φασὶ δὲ καὶ τὴν Ἡχὼ ἀναπείσειν ὑπερορᾶν τε αὐτοῦ καὶ μηδὲ φθέγγεσθαι πρὸς αὐτὸν ἔτι. ταῦτα αἱ νύμφαι πανσυδί, σὺ δὲ κατὰ δήμους 829 αὐτὰς ὅρα· τὰ μὲν γὰρ τῶν ναίδων εἴδη ῥανίδας ἀπορραίνουσιν αὗται τῆς κόμης, ὁ δὲ περὶ ταῖς βουκόλοις αὐχμὸς οὐδὲν φαυλότερος τῆς δρόσου, αἱ δὲ ἀνθοῦσαι τὰς χαίτας ἐκπεφύκασιν ὑακινθίνοις ὁμοίως ἄνθεσιν.

ΠΙΝΔΑΡΟΣ.

ιβ'. Οἶμαι θαῦμά σοι εἶναι τὰς μελίττας οὕτω γλίσχρως γεγραμμένας, ὧν γε καὶ προνομαία δήλη καὶ πόδες καὶ πτερὰ καὶ τὸ χρῶμα τῆς στολῆς οὐκ ἀτακτοῦσιν ἴσα τῇ φύσει διαποικιλ- 72

1. ἀποκόπτεται. φ, π, ρ, ven. cl. XI, 15. ἀποκόπτει. vd. ib. ἀπήρακτο. f, ρ. ἄπερρ κται. p. ἀπέρρηκται. φ. ἀπήρακται. π, ven. cl. XI, 15. ἀπήρρακται. vd. 2. ὅδ' E, ut statim. 3. ποιητὴς δ' ἂν. μ. ib ὃ δ' οὐκ. vd. 4. ὠχρὸς μὲν. l. 5. τὸ δὲ — ἔχει. v. ib. ὁ Ἀγαμ. v. ὁ om. ς. 6. ἐν πεδίῳ τρωικῷ. vd. ib. οὐδὲ. φ, vd. οὐδ'. EJ. ib. ἐπὶ excidit in vd. 7. ὡς βοῦς. br. ib. ταυτὶ. vd. ib. κυριώτερα — Κασάνδρας. v. ib. δὲ om. br. 8. οἴκῳ. vd. ib. καὶ τῆς Κασ. π. ib. πελέκεος. vd. ib. Κλυταιμνῆστρα. vd. 10. ῥίπτουσα. μ. ib. ἀπ' αὐτῆς. φ. 11. αὐτὴν. μ, sed corr. ib. βοᾷ — ἀκούοντα. v. ib. οὕτω τὸ. v, qui post ἀκούοντα addit ἔθνησκε γὰρ ὁ Ἀγαμέμνων. 12. μέμνηται. γ. ib. αὐτῆς. ρ.

XI. 14. Πάνα. μ. 15. κατὰ τοῦ. μ. ib. αὗται ἂν. γ. ib. αὐτὸν om. l, 2. 16. ἐῇθει. γ sic. ἔθει. m, o. ib. ἀποτεταμένῳ τὸν κόλπον. C, EJ. ἀποτεταπένῳ. π. ἁπτομένῳ τῶν κόλπων conj. J. 17. μεσυμβρίαν. br. 18. πρῶτον. vd. 20 αἴρειν. vd. ib. πλεῖστον. m, o. 21. ἐξέρτηται. l. ib. ἐσβεβληκνιῶν. l, ρ, π. ἐμβεβλ. ς. ib. φασὶ δὲ τὴν. f. 22. πασσυδεί. E. ib. οὐδὲ κατὰ δ. l. 23. ναίδων ἤδη. br. ib. παρὰ. m, o. ib. ταῖς conj. J. τοῖς. ς. 24. αὐχμὴ. j. ib. φαυλότερον. j. ib. ἀνθοῦσι — ἐκπεφυκόσιν. o.

XII. 25. θαυμάσαι. μ. ib. εἶναι om. γ. ib. καὶ τὰς. 2, E. ib. μελίσσας. vd. ib. προνομία. br. 26. ἴσα. E. ib. διαποικιλούσης. br.

71, 72. p 828, 829. 11, 11, 12.

λούσης αὐτὰ τῆς γραφῆς. τί οὖν οὐκ ἐν σίμβλοις αἱ σοφαί; τί δὲ ἐν ἄστει; κωμάζουσιν ἐπὶ τὰς τοῦ Δαιφάντου θύρας — γέγονε δὲ ἤδη Πίνδαρος, ὡς ὁρᾷς — πλάττειν κἀκ νηπίου αὐτόν, ἵν' ἐμμελὴς ἤδη καὶ ἔμμουσος ᾖ, καὶ ποιοῦσι ταῦτα. τὸ μὲν γὰρ παιδίον ἐς δάφνην ἀπόκειται καὶ κλῶνας μυρρίνης ξυμβαλλομένου τοῦ πατρὸς ἱεροῦ τεύξεσθαι τοῦ παιδός, ἀφ' ὧν κύμβαλά τε κατήχει τῆς οἰκίας, ὅτε ἐτίκτετο, καὶ τύμπανα ἠκούετο ἐκ Ῥέας, ἐλέγοντο δὲ καὶ αἱ νύμφαι χορεῦσαί οἱ καὶ ἀνασκιρτῆσαι τὸν Πᾶνα· φασὶ δὲ αὐτόν, ὅτε Πίνδαρος ἐς τὸ ποιεῖν ἀφίκετο, ἀμελήσαντα τοῦ σκιρτᾶν ᾄδειν τὰ τοῦ Πινδάρου. ἡ Ῥέα δὲ ἄγαλμα ἐκπεπόνηται καὶ καθίδρυται μὲν αὐτοῦ καὶ περὶ θύρας, οἶμαι δὲ καὶ λίθου τὸ ἄγαλμα φαίνεσθαι, κατεσκληκυίας ἐνταῦθα τῆς γραφῆς καὶ τί γὰρ ἄλλο ἢ ἐξεσμένης; ἄγει καὶ τὰς νύμφας ἐνδρόσους καὶ οἵας ἐκ πηγῶν, ὁ δὲ Πὰν ἐξορχεῖται μὲν ῥυθμὸν δή τινα, φαιδρὸν δὲ αὐτῷ τὸ εἶδος καὶ τῆς ῥινὸς οὐδὲν χολῶδες. αἱ δὲ ἔσω μέλιτται περιεργάζονται τὸ παιδίον ἐπιβάλλουσαι τὸ μέλι καὶ τὰ κέντρα ἀνέλκουσαι δέει τοῦ ἐγχρίψαι. ἐξ Ὑμηττοῦ τάχα ἥκουσι, καὶ ἀπὸ τῶν λιπαρῶν καὶ ἀοιδίμων, καὶ γὰρ τοῦτο οἶμαι αὐτὰς ἐνστάξαι Πινδάρῳ. 830

ΓΥΡΑΙ.

ιρ.' Αἱ τοῦ πελάγους ἀνεστηκυῖαι πέτραι καὶ ἡ ξέουσα περὶ αὐτὰς θάλαττα ἥρως τε δεινὸν
73 βλέπων ἐπὶ τῶν πετρῶν καί τι καὶ φρονήματος ἔχων ἐπὶ τὴν θάλατταν ὁ Λοκρὸς Αἴας βέβληται μὲν τὴν ἑαυτοῦ ναῦν, ἐμπύρου δὲ αὐτῆς ἀποπηδήσας ὁμόσε κεχώρηκε τοῖς κύμασι, τῶν μὲν διεκπαίων, τὰ δὲ ἐπισπώμενος, τὰ δὲ ὑπαντλῶν τῷ στέρνῳ, Γυραῖς δ' ἐντυχών, αἱ δὲ Γυραὶ πέτραι εἰσὶν ὑπερφαίνουσαι τοῦ Αἰγαίου κόλπου, λόγους ὑπέρφρονας λέγει κατὰ τῶν θεῶν αὐτῶν, ἐφ' οἷς ὁ Ποσειδῶν αὐτὸς ἐπὶ τὰς Γυρὰς στέλλεται φοβερός, ὦ παῖ, καὶ χειμῶνος πλέως καὶ τὰς χαίτας ἐξηρμένος. καίτοι ποτὲ καὶ συνεμάχει τῷ Λοκρῷ κατὰ τὸ Ἴλιον, σωφρονοῦντι δὲ καὶ φειδομένῳ τῶν θεῶν, καὶ ἐρρώννυ αὐτὸν τῷ σκήπτρῳ, νῦν δ', ἐπειδὴ ὑβρίζοντα ὁρᾷ, τὴν τριαιναν ἐπ' αὐτὸν φέρει καὶ πεπλήξεται ὁ αὐχὴν τῆς πέτρας ὁ ἀνέχων τὸν Αἴαντα, ὡς ἀποσείσαιτο αὐτὸν αὐτῇ ὕβρει. ὁ μὲν δὴ λόγος τῆς γραφῆς οὗτος, τὸ δὲ ἐναργές· λευκὴ μὲν ὑπὸ κυμάτων ἡ θάλαττα, σπιλάδες δ' αἱ πέτραι διὰ τὸ ἀεὶ ῥαίνεσθαι, πῦρ δὲ ἐκ μέσης ἄττει τῆς νεώς, ἐς ὃ ἐμπνέων ὁ ἄνεμος πλεῖ ἡ ναῦς ἔτι καθάπερ ἱστίῳ χρωμένη τῷ πυρί, ὁ δὲ Αἴας οἷον ἐκ μέθης ἀναφέρων περιαθρεῖ τὸ πέλαγος οὔτε ναῦν ὁρῶν οὔτε γῆν, καὶ οὐδὲ τὸν Ποσειδῶ προσιόντα δέδοικεν, ἀλλ' ἔοικε διατεινομένῳ ἔτι. οὕπω γὰρ τοὺς βραχίονας ἡ ῥώμη ἀπολέλοιπεν, ὁ αὐχήν τε ἀνέστηκεν οἷον ἐπὶ Ἕκτορα καὶ Τρῶας. ὁ μὲν δὴ Ποσειδῶν ἐμβαλὼν τὴν τριαιναν ἀπαράξει τὸ τρύφος αὐτῷ Αἴαντι τῆς πέτρας, αἱ δὲ Γυραὶ αἱ λοιπαὶ μενοῦσί τε, ἐς ὅσον θάλαττα, καὶ ἄσυλοι ἑστήξουσι τῷ Ποσειδῶνι.

1. συμβόλοις. ε. σύμβλοις. m, ubi γρ. συμβόλοις. 2. Διόφαντος. f. Δαίφαντος. j. ib. γέγονε δὲ. f, p. γέγονε. ς. ib. ἤδη om. f. ib. πλάττειν. J et Welcker conj. πλάττει. ς. 3. πεδίον. μ. 4. ξυμβάλλομαι τοῦ. f, j, p. ib. κατέχει. g. 5. καὶ νύμφαι. f. καὶ αἱ Μοῦσαι. p. ib. χορεύουσαι. j. 6. ἐς om. γ. 7. τὰ om. br, p 1761. ib. ἐκπεποίηται. j, γ. ib. ἐκπ. καθ. m. ib. καὶ ante περὶ θ. om. o, uncis inclusit J. 8. λίθον. π. 9. εἰς δρόσους. f. ib. πεδίον. f, j. 11. ἀνέχουσαι. vd. ib. ἐγχρίψαι. π. ἐγχειρῆσαι. C (ἀγχι χρήματος. l). ἐγχειρήματος. EJ. ἐγχρίμματος conj. Kuster ad Hesych. I, 1215. ἐγχρίσαι conj. J. 12. ἥκουσιν ἀπὸ τ. ψ. ib. ἀηδίμων. l. ib. ἀοιδίμων Ἀθηνῶν. m.

XIII. Γυραί. f, p, br, l, π, ψ. Γυραὶ πέτραι. φ. Αἴας ὁ Λοκρός. p 1761, 2706. Αἴας ὁ Λοκρὸς ἢ Γυραί. ς. 14. Θάλασσα. γ, g. ib. δεινὰ βλέπων. f, j. 15. καί τοι. l. ib. θάλασσαν. φ, π. ib. Αἴας om. f, j. 16. ὁμοίως ἐκκεχώρηκε. f, j. ὅδε κεχώρηκε. l. 17. Fo: ἐπαντλῶν. ib. αἱ δὲ — πλέως. v. ib. Γυραῖς δὲ. vd. 18. ὑποφαίνουσαι. v. ib. Αἰγέου. γ. Αἰγέου, ἔνθα Αἴας τέθνηκεν. v. ib. Fo: αὐχῶν. 19. ὁ δὲ Ποσειδῶν φοβερὸς. v. 20. καί τι. l, π. ib. καὶ eras. post ποτὲ. p. ib. δὲ eras. p, om. vd. φ, 2, 3. 21. Θεῶν ἐρρώννυ. f. ib. ἔρρωννυ. E. ἐρώννυ. vd. ib. ἐν τῷ σκ. φ. ib. νῦν δὲ. vd. ib. ἐπ' αὐτῷ. vd. 22. πεπλέξεται. br. ib. ἐν τῇ. br. 23. τὸ δ'. vd. 24. ἄπτει. i2, m, o. ἄττει. vd, π. 26. οὔτε. C, J. Sc. οὐδὲ. 27. οὔπω γὰρ. l, J. οὔπω. ς. ib. οἷον. l, 2. οἷος. ς. 28. ὁ μὲν οὖν. π. ib. τὴν om. φ. ib. ἀναταράξει. f, j, l et p ante corr. ἀράξει. ς. (vd.) ἀπαράξει conj. J. 29. ἑστήξονται. l.

73. p. 830. II, 13.

ΘΕΤΤΑΛΙΑ.

831 ιδ'. Αἰγυπτιάζει μὲν ἡ προσβολὴ τῆς γραφῆς, ὁ λόγος δὲ αὐτῆς οὐκ Αἰγύπτιος, ἀλλ', οἶμαι, 74
Θετταλῶν· Αἰγυπτίοις μὲν γὰρ παρὰ τοῦ Νείλου ἡ γῆ, Θετταλοῖς δὲ Πηνειὸς οὐ συνεχώρει πάλαι γῆν ἔχειν, περιβεβλημένων τοῖς πεδίοις ὀρῶν καὶ τοῦ ῥεύματος ἐπικλύζοντος αὐτὰ ὑπὸ τοῦ μήπω ἐκβαλεῖν. ῥήξει οὖν ὁ Ποσειδῶν τῇ τριαίνῃ τὰ ὄρη καὶ πύλας τῷ ποταμῷ ἐργάσεται. τούτῳ γὰρ νυνὶ τῷ ἔργῳ ἐφέστηκεν ἀθλῶν αὐτὸ καὶ ἀνακαλύπτων τὰ πεδία, καὶ διῄρται μὲν ἡ χεὶρ ἐς τὸ ἀναρρῆξαι, τὰ δὲ ὄρη, πρὶν πεπλῆχθαι, διίσταται τὸ ἀποχρῶν τῷ ποταμῷ μέτρον. ἀγωνιζομένης δὲ πρὸς τὸ ἐναργὲς τῆς τέχνης τὰ δεξιὰ τοῦ Ποσειδῶνος ὁμοῦ καὶ ὑπέσταλται καὶ προβέβηκε καὶ ἀπειλεῖ τὴν πληγὴν οὐκ ἀπὸ τῆς χειρός, ἀλλ' ἀπὸ τοῦ σώματος. γέγραπται δὲ οὐ κυάνεος, οὐδὲ θαλάττιος, ἀλλ' ἠπειρώτης. τῷ τοι καὶ ἀσπάζεται τὰ πεδία καὶ ὁμαλὰ ἰδὼν καὶ εὐρέα, καθάπερ θαλάττας. χαίρει καὶ ὁ ποταμὸς οἷον αὐχῶν, καὶ φυλάττων τὸ ἐς ἀγκῶνα ποταμῷ γὰρ ὀρθοῦσθαι οὐ σύνηθες ἀνατίθεται τὸν Τιταρήσιον ὡς κοῦφον καὶ ποτιμώτερον καὶ ὁμολογεῖ τῷ Ποσειδῶνι ἐκρυήσεσθαι τῶν πεδίων ὁδῷ χρώμενος. ἀνίσχει καὶ ἡ Θετταλία συνιζάνοντος ἤδη τοῦ ὕδατος ἐλαίᾳ κομῶσα καὶ ἀστάχυι καὶ πώλου ἐφαπτομένη συνανίσχοντος. ἔσται γὰρ καὶ ἵππος αὐτῇ παρὰ τοῦ Ποσειδῶνος, ὅταν τὴν ἀπορροὴν τοῦ θεοῦ καθεύδοντος ἡ γῆ ὑποδέξηται ἐς ἵππον.

ΓΛΑΥΚΟΣ ΠΟΝΤΙΟΣ.

832 ιε'. Βοσπόρου καὶ Συμπληγάδων ἡ Ἀργὼ διεκπλεύσασα μέσον ἤδη τέμνει τὸ ῥόθιον τοῦ Πόν- 75
του, καὶ θέλγει τὴν θάλατταν Ὀρφεὺς ᾄδων, ἣ δὲ ἀκούει καὶ ὑπὸ τῇ ᾠδῇ κεῖται ὁ Πόντος. τὰ μὲν δὴ ἀγώγιμα τῆς νεὼς Διόσκουροι καὶ Ἡρακλῆς Αἰακίδαι τε καὶ Βορεάδαι καὶ ὅσον τῆς ἡμιθέου φορᾶς ἦνθει, τρόπις δὲ ὑφήρμοσται τῇ νηὶ δένδρον ἀρχαῖον, ᾧ κατὰ Δωδώνην ὁ Ζεὺς ἐς τὰ μαντεῖα ἐχρᾶτο. γνώμη δὲ ἐς τὸν πλοῦν ἥδε· χρυσοῦν ἀπόκειταί τι ἐν Κόλχοις κώδιον κριοῦ ἀρχαίου, ὃς λέγεται τὴν Ἕλλην ὁμοῦ τῷ Φρίξῳ διὰ τοῦ οὐρανοῦ πορθμεῦσαι· τοῦτο Ἰάσων ἑλεῖν, ᾧ παῖ, πεποίηται ἆθλον — φρουρὸς γάρ τις αὐτῷ δράκων ἐμπέπλεκται δεινὸν βλέπων καὶ ὑπερορῶν τοῦ καθεύδειν — ὅθεν ἄρχει τῆς νεώς, ἐπειδὴ βλέπει ἐς αὐτὸν ἡ τοῦ πλοῦ αἰτία. καὶ Τῖφυς μέν, ὦ παῖ, κυβερνᾷ, λέγεται δὲ οὗτοσὶ πρῶτος ἀνθρώπων ἀπιστουμένην θαρρῆσαι τὴν τέχνην, Λυγκεὺς δὲ ὁ Ἀφαρέως ἐπιτέτακται τῇ πρῴρᾳ δεινὸς ὢν ἐκ πολλοῦ τε ἰδεῖν καὶ ἐς πολὺ καταβλέψαι τοῦ βάθους καὶ πρῶτος μὲν ὑποκειμένων ἑρμάτων αἰσθέσθαι, πρῶτος δὲ ὑποφαίνουσαν γῆν ἀσπάσασθαι. ἀλλὰ νῦν ἐκπεπλῆχθαί μοι δοκεῖ καὶ τὸ τοῦ Λυγκέως ὄμμα τὴν προσβολὴν τοῦ φάσματος, ὑφ' οὗ καὶ οἱ πεντήκοντα σχασάμενοι τὴν εἰρεσίαν Ἡρακλῆς μὲν ἄτρεπτος μένει τοῦ θαύ-

XV. 1. προσβολὴ conj. Welcker et J. προβολὴ. ς. 2. παρὰ τοὺς Νείλου. γ. παρὰ τοῖς N. μέτροις. g. παρὰ τὸν Νεῖλον. m, o. 3. περικλύζοντος. f. 4. οὖν. vd, φ, π. γοῦν. ς. 5. ἀνακαλύπτον. br. ib. διῄρτηται. f, j, l, et p ante corr. 6. μέτρῳ. g. ib. ἀγωνιζομένης — ὑπέσταλται. v. 7. ὁμοῦ καὶ om. v. ib. προβέβληκε. φ. 8. τὴν ὀργὴν. γ, g, inde conj. J. τὴν ὁρμήν. ib. ἀλλὰ ἀπὸ. ὁ. 9. τώ τοι. μ. ib. ὥσπερ. π. 10. θαλάττας, χαίρει. EJ. ib. οἷον αὐχῶν. 2. αὖθις. ς. ἀρθεὶς conj. J. ib. ὀρθοῦσθαι οὐ σύνηθες. C, J. οὐ σύνηθες ὀρθοῦσθαι. ς. 11. ἀνατίθενται. br. 12. ἐκρυῆναι (sic) vd. ib. τῶν πεδίων om. f, j et p pr. m. 13. κοσμῶσα. br. κομώση. vd. ib. συνανίσχοντος om. br. ib. παρ' αὐτοῦ Ποσειδῶνος. E. 14. εἰς ἵππον. μ, E.

XV. 15. Βοσπόρους καὶ Συμπληγάδας ἡ Ἀ. διαπλεύσασα. vd. ib. τέμνει om. ρ, ψ. 16. Θάλασσαν. vd. 17. Διόσκοροι. φ, ρ. ib. Αἰακίδαι — ἤνθει. v. 18. ὑφόρμοσται. φ. ib. Ζεὺς ἑαυτοῦ. EJ. 19. γν. δὲ ἐπίπλου. l. ib. ἤδη. j. 20. Φρύξῳ. m, o, ut infra. 21. πεποίηται. φ. ποιεῖται. ς. ib. γὰρ om. μ. ib. ἐν αὐτῷ. l. ib. ἐκπέπλεκται. br. 22. τοῦ om. m. ib. Τίφυς. μ, E. 23. λέγεται — τέχνην. v. ib. δὲ Τύφις. v. ib. ἀπιστουμένην om. γ, g. ib. θαρρῆσαι om. br. ib. τὴν om. v. ib. Λυγγεὺς. f, ρ, ut infra. 24. ἐκ πολλοῦ. C, J. διὰ πολλοῦ. E. 25. πρῶτος — ἀσπάσασθαι om. f, j, l. 26. σοι δοκεῖ. φ. ib. προβολὴν. vd. ib. δράκοντος et mg. φάσματος. l. 27. πεντήκοντα. π. ib. Θεάματος velit J.

74, 75. p. 831, 832. 11, 14, 15.

ματος, ἅτε δὴ πολλοῖς ὁμοίοις ἐντυχών, οἱ δὲ λοιποὶ θαῦμά τι, οἶμαι, τοῦτο λέγουσιν· ὁρᾶται γὰρ αὐτοῖς Γλαῦκος ὁ Πόντιος, οἰκῆσαι δὲ οὑτοσί ποτε λέγεται τὴν ἀρχαίαν Ἀνθηδόνα, καὶ πόας
76 μέν τινος ἐπιθαλαττίας γεύσασθαι, κύματος δὲ ὑποδραμόντος αὐτὸν ἐς τὰ τῶν ἰχθύων ἀπηνέχθη ἤθη. μαντεύεται μὲν οὖν μέγα τι, ὡς εἰκός, περίεστι γὰρ αὐτῷ τῆς τέχνης, τὸ δὲ εἶδος ὑγροὶ μὲν αὐτῷ γενείων βόστρυχοι, λευκοὶ δὲ ἰδεῖν, καθάπερ κρουνοί, βαρεῖς δὲ πλόκαμοι κόμης, καὶ τοῖς ὤμοις ἐποχετεύοντες ὅσον ἐσπάσαντο θαλάττης. ὀφρῦς δὲ λάσιαι συνάπτουσαι πρὸς ἀλλήλας οἷον μία. φεῦ τοῦ βραχίονος, ὡς γεγύμνασται πρὸς τὴν θάλατταν ἐμπίπτων ἀεὶ τοῖς κύμασι καὶ λεαίνων αὐτὰ ἐς τὴν νῆξιν. φεῦ τῶν στέρνων, ὡς λάχνη μὲν αὐτοῖς ἐγκατέσπαρται βρύοις κομῶσα καὶ φυκίοις, γαστὴρ δὲ ὑπόκειται παραλλάττουσα καὶ ἀπιοῦσα ἤδη. ἰχθὺν δὲ εἶναι τῷ λοιπῷ τὸν Γλαῦκον δηλοῖ τὰ οὐραῖα ἐξηρμένα καὶ πρὸς τὴν ἰξὺν ἐπιστρέφοντα, τὸ δὲ μηνοειδὲς αὐτῶν ἁλιπορ- 10
φύρου τι ἄνθος ἔχει. περιθέουσι δ' αὐτὸν καὶ ἀλκυόνες ὁμοῦ μὲν ᾄδουσαι τὰ τῶν ἀνθρώπων, ἐξ ὧν αὐταί τε καὶ ὁ Γλαῦκος μεθηρμόσθησαν, ὁμοῦ δ' ἐνδεικνύμεναι τῷ Ὀρφεῖ τὴν ἑαυτῶν ᾠδήν, δι' ἣν οὐδὲ ἡ θάλαττα ἀμούσως ἔχει.

ΠΑΛΑΙΜΩΝ.

ις'. Ὁ Θύων ἐν Ἰσθμῷ δῆμος, εἴη δ' ἂν ὁ ἐκ τῆς Κορίνθου, καὶ βασιλεὺς οὑτοσὶ τοῦ δήμου, Σίσυφον αὐτὸν ἡγώμεθα, τέμενος δὲ τουτὶ Ποσειδῶνος ῥέμα τι προσηχοῦν θαλάττῃ, αἱ γὰρ τῶν 15
πιτύων κόμαι τοῦτο ᾄδουσι, τοιάδε, ὦ παῖ, σημαίνει· ἡ Ἰνὼ τῆς γῆς ἐκπεσοῦσα τὸ μὲν ἑαυτῆς 834
Λευκοθέα τε καὶ τοῦ τῶν Νηρηίδων κύκλου, τὸ δὲ τοῦ παιδὸς ἡ γῆ Παλαίμονι τῷ βρέφει χρήσε-
77 ται. καταίρει δὲ ἤδη ἐς αὐτὴν ἐπὶ δελφῖνος εὐηνίου, καὶ ὁ δελφὶς τὰ νῶτα ὑποστρωννὺς φέρει καθεύδοντα διολισθαίνων ἀψοφητὶ τῆς γαλήνης, ὡς μὴ ἐκπέσοι τοῦ ὕπνου, προσιόντι δὲ αὐτῷ ῥήγνυταί τι κατὰ τὸν Ἰσθμὸν ἄδυτον διασχούσης τῆς γῆς ἐκ Ποσειδῶνος, ὅν μοι δοκεῖ καὶ Σισύφῳ 20
τούτῳ προειπεῖν τὸν τοῦ παιδὸς ἔσπλουν καὶ ὅτι θύειν αὐτῷ δέοι. θύει δὲ ταῦρον τουτονὶ μέλανα ἀποσπάσας, οἶμαι, αὐτὸν ἐκ τῆς τοῦ Ποσειδῶνος ἀγέλης. ὁ μὲν οὖν τῆς θυσίας λόγος καὶ ἡ τῶν θυσάντων ἐσθὴς καὶ τὰ ἐναγίσματα, ὦ παῖ, καὶ τὸ σφάττειν ἐς τὰ τοῦ Παλαίμονος ἀποκείσθω ὄργια, σεμνὸς γὰρ ὁ λόγος καὶ κομιδῇ ἀπόθετος, ἅτ' ἀποθειώσαντος αὐτὸν Σισύφου τοῦ σοφοῦ· σοφὸν γὰρ ἤδη που δηλοῖ αὐτὸν ἡ ἐπιστροφὴ τοῦ εἴδους. τὸ δὲ τοῦ Ποσειδῶνος εἶδος, εἰ μὲν 25
τὰς Γυρὰς πέτρας ἢ τὰ Θετταλικὰ ὄρη ῥήξειν ἔμελλε, δεινὸς ἄν που ἐγράφετο καὶ οἷον πλήττων, ξένον δὲ τὸν Μελικέρτην ποιούμενος, ὡς ἐν τῇ γῇ ἔχοι, μειδιᾷ καθορμιζομένου καὶ κελεύει τὸν Ἰσθμὸν ἀναπετάσαι τὰ στέρνα καὶ γενέσθαι τῷ Μελικέρτῃ οἶκον. ὁ δὲ Ἰσθμός, ὦ παῖ, γέγραπται μὲν ἐν εἴδει δαίμονος ἐννηπτιάζων ἑαυτὸν τῇ γῇ, τέτακται δὲ ὑπὸ τῆς φύσεως Αἰγαίου μέσος καὶ

2. αὐτοῦ φ. 3. ἐπιθαλαττίας. l. ἐπὶ θαλάττης. f, j, φ, 2, g, π, ρ. (θαλάσσης. vd.) ἐπὶ τῆς θαλ. EJ. ib. ἀπηνέχθαι. 2, 3, E. ib. ἤθη om. μ. ἔδη. f. 4. μαντεῦσαι. f, j. ib. περίεστι — βόστρυχοι. v. ib. αὐτοῦ τέχνης. v. ib. τὸ δὲ — ἀπιοῦσα ἤδη. h. ib. δὲ om. h. ib. αὐτοῦ οἱ βοστρ. v. 5. γενύων. γ, g. 6. ἔσπασε τῆς θαλ. h. ib. θαλάττης. π. ib. ὀφρῦς δὲ. h. ib. ὀφρῦς θαλάττιαι. vd. δὲ om. ς. ib. Malis καὶ συνάπτουσαι. ib. πρὸς ἀλλήλοις. φ. 7. καὶ τὴν. j. 8. βρύοις — φυκίοις. h. βρύων — φυκίων. ς. ib. λάχνην αὐτοῖς. π, qui φρύων habet. 9. ἀπαλλάττουσα. f. ib. γλαῦκα. l. 10. ἐξηρμένον. π. ib. νῆξιν. f, j. ib. μονοειδές. f, j, vd ex corr. 11. περιθέουσι — ἐνδεικνύμεναι. h. ib. ἁλιπορφύρας. vd. 12. αὗταί τε. h, μ, br. ib. Γλαῦκος αὐτός. h. ib. προσηρμόσθησαν. vd. pr. m. ib. ἐνδεικνύμενοι. π. ib. τῷ Ὀρφεῖ om. h, ψ.

XVI. 14. ὁ Θύων — θαλάττῃ. v. 15. ἡγούμεθα. f, j, v. ib. θέαμά τι. π. ib. τῇ θαλ. EJ. 16. ἐμπεσοῦσα. l. 17. Λευκοθέα. p, br, J. Λευκοθέας. ς. Λευκοθέα ἔσται conj. Huet. ib. καὶ ταυτῶν. br. 18. ἤδη ἑαυτὴν. ρ. ib. δελφίν. vd. 19. διολισθένων. γ. ib. διεκπέσοι. br. διεκπέσῃ. vd. ἐκπέσῃ. ρ. 21. τοῦτο. br. ib. προσειπεῖν. f, j. ib. τὸν om. φ. ib. μέλαινα. π. 23. ἐς τὰ. j, φ, J. ib. ἀποκεῖσθαι. j. κείσθω. ρ. 24. κομιδῇ. μ. ib. ἀποθειώσαντος. f, j. ἀποθειάσαντος. ς. ib. οὐ τὸν. φ. ib. Σισύφῳ. f, j. 26. ἐφαίνετο. l. 27. καὶ ἐν τῇ. φ. 29. Αἰγαίου μέσος καὶ Ἀδρίου. l. Αἰγ. κ. Ἀδρ. μέσος. o. Αἰγ. κ. Ἀδρ. μέσον. ς. (Ἀνδρίου. f, j.)

Ἀδρίου κεῖσθαι, καθάπερ ἐπεζευγμένος τοῖς πελάγεσιν. ἔστι δὲ αὐτῷ μειράκιον μὲν ἐν δεξιᾷ Λέχαιον, οἶμαι, αἱ κόραι δ' ἐν ἀριστερᾷ Κεγχρεαί που τάχα. θάλατται δὲ αὗται καλαὶ καὶ ἱκανῶς εὔδιοι τῇ τὸν Ἰσθμὸν ἀποφαινούσῃ γῇ παρακάθηνται.

ΝΗΣΟΙ.

835 ιξ'. Βούλει, ὦ παῖ, καθάπερ ἀπὸ νεὼς διαλεγώμεθα περὶ τουτωνὶ τῶν νήσων, οἷον περι- 78
πλέοντες αὐτὰς τοῦ ἤρος, ὅτε Ζέφυρος ἱλαρὰν ἐργάζεται θάλατταν προσπνέων τῆς ἑαυτοῦ αὔρας; ἀλλ' ὅπως ἐκὼν λελήσῃ τῆς γῆς καὶ θαλαττά σοι ταυτὶ δόξει μήτ' ἐξηρμένη καὶ ἀναχαιτίζουσα μήθ' ὑπτία καὶ γαληνή, πλωτὴ δέ τις καὶ οἷον ἔμπνους. ἰδοὺ ἐμβεβλήκαμεν· ξυγχωρεῖς γάρ που; [καὶ ὑπὲρ παιδὸς ἀποκρίνασθαι;] „ξυγχωρῶ καὶ πλέωμεν". ἡ μὲν θάλαττα, ὡς ὁρᾷς, πολλή, νῆσοι δὲ ἐν αὐτῇ, μὰ Δί', οὐ Λέσβος, οὐδ' Ἴμβρος ἢ Λῆμνος, ἀλλ' ἀγελαῖαι καὶ μικραί, καθάπερ κῶμαί τινες ἢ σταθμοὶ ἤ, νὴ Δί', ἐπαύλια τῆς θαλάττης. ἡ μὲν δὴ πρώτη σφῶν ἐρυμνή τέ ἐστι καὶ ἀπότομος καὶ τειχήρης τὴν φύσιν ἀκρωνυχίαν ἐξαίρουσα πανόπτῃ Ποσειδῶνι, κατάρρους τε καὶ ὑγρὰ καὶ τὰς μελίττας βόσκουσα ὀρείοις ἄνθεσιν, ὧν δρέπεσθαι καὶ τὰς Νηρηίδας εἰκός, ὅταν τῇ θαλάττῃ ἐπιπαίζωσι. τὴν δὲ νῆσον τὴν ἐφεξῆς ὑπτίαν τε καὶ γεώδη οὖσαν οἰκοῦσι μὲν ἁλιεῖς τε καὶ γεωργοὶ ἅμα, ξυμβάλλονται δὲ ἀγορὰν ἀλλήλοις οἱ μὲν τῶν γεωργουμένων, οἱ δὲ ὧν ἤγρευσαν, Ποσειδῶ δὲ τουτονὶ γεωργὸν ἐπ' ἀρότρου καὶ ζεύγους ἵδρυνται λογιούμενοι αὐτῷ τὰ ἐκ τῆς γῆς, ὡς δὲ μὴ σφόδρα ἠπειρώτης ὁ Ποσειδῶν φαίνοιτο, πρῷρα ἐμβέβληται τῷ ἀρότρῳ καὶ τὴν γῆν ῥήγνυσιν, οἷον πλέων. αἱ δ' ἐχόμεναι τούτων νῆσοι δύο μία μὲν ἄμφω ποτὲ ἦσαν, ῥαγεῖσα δὲ ὑπὸ τοῦ πελάγους μέσῃ ποταμοῦ εὖρος ἑαυτῆς ἀπηνέχθη, τουτὶ δ' ἔστι σοι καὶ παρὰ τῆς γραφῆς, ὦ παῖ, γιγνώσκειν· τὰ γὰρ ἐσχισμένα τῆς νήσου παραπλήσιά που ὁρᾷς καὶ ἀλλήλοις ξύμμετρα καὶ οἷα ἐναρμόσαι κοῖλα ἐκκειμένοις. τοῦτο καὶ ἡ Εὐρώπη ποτὲ περὶ τὰ Τέμπη τὰ Θετταλικὰ ἔπαθεν· σει-
836 σμοὶ γὰρ δὴ κἀκείνην ἀναπτύξαντες τὴν ἁρμονίαν τῶν ὀρῶν ἐναπεσημήναντο τοῖς τμήμασι, καὶ 79
πετρῶν τε οἶκοι φανεροὶ ἔτι παραπλήσιοι ταῖς ἐξηρμοσμέναις σφῶν πέτραις, ὕλη θ', ὁπόσην σχισθέντων τῶν ὀρῶν ἐπισπέσθαι εἰκός, οὕπω ἄδηλος, λείπονται γὰρ δὴ ἔτι αἱ εὐναὶ τῶν δένδρων. τὸ μὲν δὴ τῆς νήσου πάθος τοιοῦτον ἡγώμεθα, ζεῦγμα δὲ ὑπὲρ τοῦ ποροθμοῦ βέβληται, ὡς μίαν ὑπ' αὐτοῦ φαίνεσθαι καὶ τὸ μὲν ὑποπλεῖται τοῦ ζεύγματος, τὸ δὲ ἁμαξεύεται, ὁρᾷς γάρ που τοὺς διαφοιτῶντας αὐτό, ὡς ὁδοιπόροι τέ εἰσι καὶ ναῦται. τὴν δὲ νῆσον, ὦ παῖ, τὴν πλησίον θαῦμα ἡγώμεθα, πῦρ γὰρ δὴ ὑποτύφει αὐτὴν πᾶσαν σήραγγάς τε καὶ μυχοὺς ὑποδεδυκὸς τῆς νήσου, δι' ὧν ὥσπερ αὐλῶν ἡ φλὸξ διεκπαίει ῥύακάς τε ἐργάζεται δεινούς, παρ' ὧν ἐκπίπτουσι ποταμοὶ πυρὸς μεγάλοι τε καὶ τῇ θαλάττῃ ἐπικυμαίνοντες. καὶ φιλοσοφεῖν μὲν βουλομένῳ τὰ τοιαῦτα νῆσος ἀσφάλτου καὶ θείου παρεχομένη φύσιν, ἐπειδὰν ὑφ' ἁλὸς ἀναβρωθῇ, πολλοῖς ἐκπυροῦται πνεύμασι

1. *Λέχριον οἶμαι τι. κόραι δ'.* l. Inde feci *Λέχαιον, οἶμαι, αἱ κόραι δ'. Λεχαιόν τι (Λέχαον. φ).* 1. *Λέχριον τι.* 2, 3, E. *Λέχαιον τι οἶμαι. κόραι δ'.* J ex mala indicatione apud o. 2. *Κεγχρεαί που τάχα.* C om. (praeter l,) et ε, m. ib. *ἱκαρῶς.* j.

XVII. 5. *αὐτοῖς.* π ib. *ὅτι.* p, br. ib. *ὥρας.* π. 6. *ὅπως* om. l. ib. *θάλασσα.* φ. ib. *σοί τι.* f. ib. *δόξει.* C. *δόξῃ.* EJ. ib. *ἐξῃρημένη.* f, j. 7. *ὑπτιά.* m, o. ib. *καὶ ἦν.* f, j. ib. *ἐμβεβήκαμεν.* m, o. ib. *ξ. γ. που καὶ ὑπὲρ (ὑπὸ. l.) τοῦ παιδὸς ἀποκρίνασθαι (ὑποκρίνασθαι. l).* 1, ε, m, J. *ξ. γ. π. καὶ ὑπὲρ ποδὸς (τοῦ ποδὸς p 1760.) ὑποκρίνεσθαι.* 2, 3, m. *γρ. ξ. γ. που;* ceteris omissis o. Inclusi *καὶ — ἀποκρίνασθαι.* 8. *νῆσοι δ'.* φ, ϱ, π. 9. *Δία.* 1, π. 10. *ἀπαύλια.* l. ib. *θαλάσσης.* vd. ib. *ἔστι* eras. p. om. br. vd. 11. *ἀκρονυχίαν.* E. ib. *τῷ Ποσ. μ.* ib. *κατάρρους. μ.* 12. *μελίσσας.* l, p, vd, p 1761, π, ψ. ib. *ὀρίοις.* φ. ib. *θαλάττῃ.* f, π, J. *τῇ* om. φ. 13. *γεώδη — τε καὶ* om. m. ib. *γεωργοὶ δὴ ἅμα.* l. 14. *ξυμβάλλονται — ἤγρευσαν.* v. 15. *ὡς μὴ δὲ.* f, j. 17. *οἷον πλέον.* φ. ib. *αἱ δεχόμεναι.* f, j, p. ib. *τοῦτον.* p. 18. *μέσον μὲν. γ.* ib. *μέρος ἑαυτῆς.* f, j. 19. *ἐσχηματισμένα.* f. *ἐχηματισμένα.* j. ib. *οἷον.* f, j. 20. *τὰ κοῖλα.* l, p 1761. ib. *ἔπαθεν.* ψ. 21. *γὰρ δὴ.* l, o, J. *γὰρ.* ς. 22. *αὐτῶν.* l. ib. *ὕλην.* j. ib. *ὁπόσοι. γ, g. ὁπήσῃ.* br. *ὁπόσην.* f, J. *ὁπόσῃ* ς. 23. *εὔδηλος.* π. ib. *δὴ* om. φ, π. ib. *αἱ* om. ϱ. 24. *ἐπὶ.* Salm. o, J. *ὑπὸ.* C, ε, m. Sc. *ὑπὲρ.* 27. *γὰρ ἤδη.* f, j. ib. *μύχους* m, o. 28. *ἐργάζεται.* f, j, φ. *ἐξερεύγεται* p ex corr. vd. *ἐξεργάζεται.* 2, 3, EJ. 30. Fo: *παρεχομένη κρᾶσιν.* ib. *ἐπειδὴ.* o. ib. *ἀνακραθῇ.* f, j.

78, 79. p. 835, 836. 11, 17.

τὰ τὴν ὕλην ἐξερεθίζοντα παρὰ τῆς θαλάττης ἀνασπῶσα, ἡ γραφὴ δὲ τὰ τῶν ποιητῶν ἐπαινοῦσα καὶ μῦθον τῇ νήσῳ ἐπιγράφει, γίγαντα μὲν βεβλῆσθαί ποτε ἐνταῦθα, δυσθανατοῦντι δ' αὐτῷ τὴν νῆσον ἐπενεχθῆναι δεσμοῦ ἕνεκεν, εἶκειν δὲ μήπω αὐτόν, ἀλλ' ἀναμάχεσθαι ὑπὸ τῇ γῇ ὄντα καὶ τὸ πῦρ τοῦτο σὺν ἀπειλῇ ἐκπνεῖν. τουτὶ δὲ καὶ τὸν Τυφῶ φασιν ἐν Σικελίᾳ βούλεσθαι καὶ τὸν Ἐγκέλαδον ἐν Ἰταλίᾳ ταύτῃ, οὓς ἤπειροί τε καὶ νῆσοι πιέζουσιν οὕπω μὲν τεθνεῶτας, ἀεὶ δὲ ἀποθνήσκοντας. ἔστι δέ σοι, ὦ παῖ, μηδ' ὑπολελεῖφθαι δόξαι τῆς μάχης ἐς τὴν κορυφὴν τοῦ ὄρους ἀποβλέψαντι, τὰ γὰρ ἐπ' αὐτῆς φαινόμενα ὁ Ζεὺς ἀφῆσι κεραυνοὺς ἐπὶ τὸν γίγαντα, ὁ δ' ἀπαγορεύει μὲν ἤδη, πιστεύει δὲ τῇ γῇ ἔτι, καὶ ἡ γῆ δὲ ἀπείρηκεν οὐκ ἐῶντος αὐτὴν ἑστάναι τοῦ Ποσειδῶνος. περιβέβληκε δὲ αὐτοῖς ἀχλύν, ὡς ὅμοια γεγονόσι μᾶλλον ἢ γιγνομένοις φαίνοιτο. τὸν δὲ περίπλουν κολωνὸν τοῦτον οἰκεῖ δράκων πλούτου τινός, οἶμαι, φύλαξ, ὃς ὑπὸ τῇ γῇ κεῖται. τοῦτο γὰρ λέγεται τὸ θηρίον εὔνουν τε εἶναι τῷ χρυσῷ, καὶ ὅ τι ἴδῃ χρυσοῦν, ἀγαπᾶν καὶ θάλπειν· τό τοι κώδιον τὸ ἐν Κόλχοις καὶ τὰ τῶν Ἑσπερίδων μῆλα, ἐπειδὴ χρυσᾶ ἐφαίνοντο, διττῷ ἀύπνῳ ξυνεῖχον δράκοντε καὶ ἑαυτοῖν ἐποιοῦντο, καὶ ὁ δράκων δὲ ὁ τῆς Ἀθηνᾶς ὁ ἔτι καὶ νῦν ἐν ἀκροπόλει οἰκῶν δοκεῖ μοι τὸν Ἀθηναίων ἀσπάσασθαι δῆμον ἐπὶ τῷ χρυσῷ, ὃν ἐκεῖνοι τέττιγας ταῖς κεφαλαῖς ἐποιοῦντο. ἐνταῦθα δὲ καὶ χρυσοῦς αὐτὸς ὁ δράκων, τὴν γὰρ κεφαλὴν τῆς χειᾶς ὑπερβάλλει δεδιώς, οἶμαι, ὑπὲρ τοῦ κάτω πλούτου. κατηρεφὴς δὲ κιττῷ τε καὶ σμίλακι καὶ ἀμπέλοις ἥδε ἡ νῆσος οὖσα Διονύσῳ μὲν ἀνεῖσθαί φησι, τὸν Διόνυσον δ' ἀπεῖναι νῦν καὶ ἐν ἠπείρῳ που βακχεύειν ἐπιτρέψαντα τῷ Σειληνῷ τὰ ἐνταῦθα ἀπόρρητα· τὰ δὲ ἀπόρρητα κύμβαλά τε ταῦτα ὕπτια καὶ κρατῆρες ἀνεστραμμένοι χρυσοῖ καὶ αὐλοὶ θερμοὶ ἔτι, καὶ τὰ τύμπανα ἀψοφητὶ κείμενα, καὶ τὰς νεβρίδας ὁ ζέφυρος οἷον αἴρει ἀπὸ τῆς γῆς, ὄφεις τε οἱ μὲν ἐμπλέκονται τοῖς θύρσοις, οἱ δ' ὑπὸ τοῦ οἴνου παρεῖνται ζώννυσθαι αὐτοὺς ταῖς βάκχαις καθεύδοντας. βότρυς δὲ οἱ μὲν ὀργῶσιν, οἱ δὲ περκάζουσιν, οἱ δ' ὄμφακες, οἱ δ' οἰνάνθαι δοκοῦσι σεσοφισμένου τοῦ Διονύσου τὰς ὥρας τῶν ἀμπέλων, ὡς ἀεὶ τρυγώῃ. ἀμφιλαφεῖς δ' οὕτω τι οἱ βότρυς, ὡς καὶ τῶν πετρῶν ἀπηρτῆσθαι καὶ τῇ θαλάττῃ ἐπικρέμασθαι, ὁπωρίζουσί τε προσπετόμενοι θαλάττιοί τε καὶ ἠπειρῶται ὄρνιθες, τὴν γὰρ ἄμπελον ὁ Διόνυσος παρέχει κοινὴν πᾶσι πλὴν τῆς γλαυκός, ἐκείνην δὲ μόνην ἄρα ἀπωθεῖται τῶν βοτρύων, ἐπειδὴ τοῖς ἀνθρώποις διαβάλλει τὸν οἶνον· ᾠὰ γὰρ τῆς γλαυκὸς εἰ φάγοι παιδίον νήπιόν τε καὶ ἄοινον, ἀπεχθάνεται τῷ οἴνῳ πᾶσαν τὴν ἡλικίαν, καὶ οὔτ' ἂν πίοι καὶ φοβεῖται τοὺς μεθύοντας. σὺ δ' οὕτω τι θρασύς, ὦ παῖ, ὡς μηδὲ τὸν Σειληνὸν τοῦτον, τὸν φύλακα τῆς νήσου, φοβεῖσθαι μεθύοντά τε καὶ ἁπτόμενον τῆς βάκχης. ἡ δ' οὐκ ἀξιοῖ ἐς αὐτὸν βλέπειν, ἀλλὰ τοῦ Διονύσου ἐρῶσα ἀνατυποῦται αὐτὸν καὶ ἀναγράφει καὶ ὁρᾷ μὴ παρόντα. τὸ γὰρ τῶν ὀφθαλμῶν ἦθος τῇ βάκχῃ μετέωρον μέν,

837

838

1. ἐξερεθίζοντα. f, j et p ante corr. J. ἐρεθίζοντα. vd, φ, 2, 3, E. ἐθερίζοντα. br. ib. θαλάσσης. φ. ib. τὰ om. vd. 2. ἐπιγράφειν. 1. ib. δυσθανοῦντι. j, br, ε, m. δὶς θανατοῦντι. l. 3. ἕνεκα. l. 4. συναπειλεῖ. l, j, μ. ib. Τυφῶνα καὶ Ἐγκέλαδον οὕπω μὲν τεθνεῶτα, ἀεὶ δὲ ἀποθνήσκοντα. ν. ib. Τυφῶνα. φ. 6. ὑπολεῖφθαι. f, j, p, φ. ἀπολελεῖφθαι. vd, 2, 3, E. ὑπολελεῖφθαι br, π. ib. δόξαι om. γ, g. ib. τοῦ ὄρους et γρ. τῆς νήσου. l. 7. ὑπ' αὐτῆς. f, j. ἐπ' αὐτοὺς et γρ. ὑπ' αὐτῆς. l. ib. ὁ δὲ Τυφῶν — ἔτι. ν. 9. ἄχλυν. EJ. ib. γινομένοις. π, vd. ib. φαίνονται. vd. 10. περίπλουν τὸν κολ. vd. 11. εἶναι αὐτῷ. vd. ib. τὸ χρυσίον. vd. ib. ἴδοι. br, γ, g. Fo: ἂν ἴδῃ. ib. θάλπειν καὶ ἀγαπᾶν. vd. 12. τότε. vd. τότοι. o. ib. ἑσπερίων. f, vd. ib. τέσσαρα μῆλα. vd. ib. ἐφαίνοντο. f, j, p. ἐφαίνετο. ς. 13. δράκοντες. br. ib. ἑαυτῶν. f, j. 14. ἐπισπάσασθαι. ψ. ib. οὗ velit Osann ad Philem. 198. ταῖς κεφ. 1, 3, J. ἐπὶ ταῖς κεφ. φ, 2. ἐπὶ τὰς κ. E. 15. δὲ χρυσοῦς. f. 16. τε om. l, μ. 17. ἤδη ἡ νῆσος. ε, m. ib. φασι. f, p, br. ib. τὸν om. φ. 18. ἐπιτρέψαντι. f. ib. Σιληνῷ. π, ρ. Σειλήνῳ. f. 19. τὰ δὲ ἀπόρρητα κύμβαλα. 1, π, ρ. κύμβαλα. 2, 3, EJ. ib. Fo: ἀνατετραμμένοι. ib. χρυσῷ. vd, π, ρ. ib. τύμπανα. 1. τύμπανα δὲ. 2, 3, EJ. 20. νευρίδας. l. ib. τοῖς om. E. ib. ὄφεις τε. l, p, br, vd, φ, π, o. ὄφεις ἓξ. f, j. ὄφεις τε ἓξ. ς. ib. οἶμαι ἐμπλ. vd. 21. παρεῖναι. br. ib. τοῖς βάκχοις. l. ib. ὧν οἱ μὲν ὀργῶσιν — δοκοῦσιν exscripsit Aristaenet. I, 3 p. 14 ed. B. 22. περκάζουσαι. π. 23. τρυγὼν. l, br. ib. οὕτω τοι. φ. ib. βότρυες. φ, br, vd, π, ρ. 24. ὁπωρίζουσί τε. f, j, p. ὀπ. δὲ. ς. ib. προσπεττόμενοι. f. ib. θαλάσσιοί τε. vd. 25. γλαύκης. vd. 26. διαβάλλεται. vd. ib. φάγει. br. 27. παιδίον νήπιόν τε καὶ ἄοινον. l et J, ubi unci appositi verbis νήπιόν τ. κ. ἄ. παιδίον. ς. ib. ἀπεχθάνεται τὸν οἶνον. l. ib. πᾶσαν τὴν ἡλικίαν. 1, (br), π. πᾶσαν ἡλ. 2, 3, EJ. ib. πίῃ. p 1761. ib. φοβοῖτο 1, π. φοβεῖτο. br. 28. οὕτω τοι. br, φ, g. ib. Σειληρὸς. l. mg. Σιληνὸν. π, ρ. 29. ἐς αὐτὸν. C. ἐπ' αὐτὸν. EJ. ib. αὐτὸν. 1. αὐτόν τε. 2, 3, EJ. 30. εἶδος. br, vd.

80, 81. p. 837, 838. II, 17.

οὐ μὴν ἔξω γ' ἐρωτικῶν φροντίδων. ταυτὶ δὲ ἡ φύσις τὰ ὄρη ξυνθεῖσα νῆσον εἴργασται δασεῖάν τε καὶ ὕλης πλέων, ὁπόση κυπαρίττου τε ὑψηλῆς καὶ πεύκης καὶ ἐλάτης δρυῶν τε αὖ καὶ κέδρου, καὶ γὰρ τὰ δένδρα τὸν ἑαυτῶν γέγραπται τρόπον. τὰ μὲν δὴ ἔνθηρα τῆς νήσου συνοθῆραί τε ἀνιχνεύουσι καὶ ἐλαφηβόλοι λόγχας ἐπὶ τὰ θηρία ἠρμένοι καὶ τόξα ἔνιοι καὶ μαχαίρας δέ, ὦ παῖ, καὶ κορύνας φέρουσιν οἱ ἀγχέμαχοι σφῶν καὶ θρασεῖς δίκτυά τε ταῦτα διῆκται τῆς ὕλης τὰ μὲν ἐγκολπίσασθαι θηρίον, τὰ δὲ δῆσαι, τὰ δὲ σχεῖν τοῦ δρόμου, καὶ τὰ μὲν εἴληπται τῶν θηρίων τὰ δὲ μάχεται, τὰ δὲ ἧρηκε τὸν βάλλοντα. ἐνεργὸς δὲ πᾶς βραχίων νεανίας, καὶ συνεξαίρουσι βοὴν κύνες ἀνδράσιν, ὡς καὶ τὴν ἠχὼ φάναι ξυμβακχεύειν τῇ θήρᾳ. τὰ δὲ μεγάλα τῶν φυτῶν δρυτόμοι σπαθῶσι διατέμνοντες καὶ ὁ μὲν διαίρει τὸν πέλεκυν, ὁ δὲ ἐμβέβληκεν, ὁ δὲ θήγει λαβὼν ἀπεστομισμένον ὑπὸ τοῦ πλήττειν, ὁ δ' ἐπισκοπεῖται τὴν ἐλάτην ἱστοῦ ἕνεκα τεκμαιρόμενος τοῦ δένδρου πρὸς τὴν ναῦν, ὁ δὲ τὰ νέα καὶ ὀρθὰ τῶν δένδρων τέμνει ἐς τὰ ἐρετικά. ἡ δ' ἀπορρὼξ πέτρα 82
καὶ ὁ τῶν αἰθυιῶν δῆμος καὶ ὁ ἐν μέσαις ὄρνις ἀπὸ τοῦ τοιοῦδε γέγραπται λόγου· οἱ ἄνθρωποι ταῖς αἰθυίαις ἐπιτίθενται, μὰ Δί', οὐ τῶν κρεῶν ἕνεκα, μέλαν γὰρ καὶ νοσῶδες καὶ οὐδὲ πεινῶντι ἡδὺ τὸ ἐξ αὐτῶν κρέας, γαστέρα δὲ παρέχονται παισὶν ἰατρῶν, οἵαν τοὺς γευσαμένους αὐτῆς εὐσίτους ἀποφαίνειν καὶ κούφους ὑπνηλαὶ οὖσαι καὶ πυριάλωτοι, νύκτωρ γὰρ αὐταῖς ἐναστράπτουσι. προσάγονται δὲ τὸν κήυκα ὄρνιν ἐπὶ μοίρᾳ τῶν ἁλισκομένων μελεδωνὸν εἶναι καὶ προεγρηγορέναι
839 σφῶν. ὁ δὲ κήυξ θαλάττιος μέν, χρηστὸς δὲ ὄρνις καὶ ἀπράγμων καὶ θηρᾶσαι μέν τι ἀδρανής, πρὸς δέ γε ὕπνον ἔρρωται καὶ καθεύδει σμικρά. ταῦτά τοι καὶ ἀπομισθοῦ τοὺς ὀφθαλμοὺς ἐκείναις. ἐπειδὰν οὖν ἐπὶ δαῖτα ἀποπτῶσιν, ὁ μὲν οἰκουρεῖ περὶ τὴν πέτραν, αἱ δ' ἥκουσιν ἐς ἑσπέραν ἀπάγουσαι δεκάτην αὐτῷ τῶν τεθηραμένων, καὶ καθεύδουσιν ἤδη περὶ αὐτὸν οὐ καθεύδοντα, οὐδ' ἂν ἡττηθέντα ὕπνου ποτέ, εἰ μὴ αὐταὶ βούλονται. εἰ δὲ δόλου του προσιόντος αἴσθοιτο, ὁ μὲν ἀναβοᾷ τορόν τε καὶ ὀξύ, αἱ δ' ἀπὸ συνθήματος ἀρθεῖσαι φεύγουσιν ἀνέχουσαι τὸν μελεδωνόν, εἰ πετόμενος ἀπείποι ποτέ. ἀλλ' ἐνταῦθα ἕστηκε καὶ τὰς αἰθυίας περιορᾷ. ἔστι δ' αὐτοῦ τὸ μὲν ἐν μέσαις ἑστάναι ταῖς ὄρνισιν ὁ Πρωτεὺς ὁ ἐν ταῖς φώκαις, τὸ δὲ μὴ καθεύδειν ὑπὲρ τὸν Πρωτέα. ἐνταῦθα δέ, ὦ παῖ, καὶ καθώρμισται ἡμῖν, καὶ ὅ τι μὲν ὄνομα τῇ νήσῳ, οὐκ οἶδα, χρυσῆ δ' ἂν πρός γε ἐμοῦ ὀνομάζοιτο, εἰ μὴ μάτην οἱ ποιηταὶ τὴν τοιάνδε ἐπωνυμίαν ἐξευρήκασι τοῖς καλοῖς τε καὶ θαυμασίοις πᾶσιν. ᾤκισται μὲν δή, ὁπόση βασίλεια μικρὰ δέξασθαι, οὐ γὰρ ἀρόσει γε ἐνταῦθά τις, οὐδὲ ἀμπελουργήσει, περίεστι δ' αὐτῇ πηγῶν, ὧν τὰς μὲν ἀκραιφνεῖς τε καὶ ψυ- 83
χρὰς ἐκδίδωσι, τὰς δὲ ἐκπυρώσασα, ἔστι δ' οὕτω τι εὔρους, ὡς καὶ τῇ θαλάττῃ ἐπιπλημμυρεῖν· τό τοι ῥόθιον τοῦτο πηγαὶ ὑποκυματίζουσι ξέουσαι καὶ οἷον ἐκ λέβητος ἀναπαλλόμεναί τε καὶ ἀναπηδῶσαι, περὶ ἃς βέβληται ἥδε ἡ νῆσος. τὸ μὲν οὖν θαῦμα τῆς τῶν πηγῶν ἐκδόσεως εἴτε τῆς γῆς

1. ἔξω γ' ἐρ. p, vd, φ, π. ἔξω γε ἐρ. ς. ib. νῆσον δασεῖαν — ἐλάτης. v. 2. πλέων. v. πλέω. ς. ib. ὑψηλοῦ. ψ, π. ὑψηλῆς καὶ πεύκης om. v. 3. καὶ γὰρ — τρόπον. v. ib. τῶν — τρόπων. v. ib ἔνθυρα. ρ. 4. ἐλαφηβόλος. vd. 5. ἀγχίμαχοι. vd. ib. ἐκκολπίσασθαι. π. εὐκολπίσασθαι. γ. 6. τὸ θηρίον. l. ib. τὰ δὲ σχεῖν τοῦ δρόμου, τὰ δὲ δῆσαι. vd. 7. ἐνεργῶς. γ. ib. νεανίας. f, j. νεανίου. ς. ib. συνεξαίρουσι. φ, π. ξυνεξαίρ. ς. 8. ὡς τὴν. μ, π. ib. συμβακχ. φ. ib. σπασθῶσι. γ. 9. λαβὼν θήγει. vd. θίγει. ρ. ib. ἀπεστομωμένον. l mg. ἐπιστομισμένον. j. ἀποστομισμένον. μ. 10. ἕνεκεν. f, p. 11. τὰ ὀρθὰ καὶ νέα. vd. ib. πρὸς τὰ ἐρ. vd. ib. ἐρατικά. br. ib. ἀπορρὼξ πέτρα. 1, Eugenic. 148. ἀπορρὼξ καὶ ἡ ἀπορραγεῖσα πέτρα. 2, 3, E et J, qui uncis includit καὶ ἡ ἀπορραγεῖσα. 12. ἐν μέσῳ. vd. ib. τοῦ τοιοῦδε. 1, π, ρ. τοιοῦδε. ς. 13. ἀνθυίαις. π. 14. τοῖς παισὶν. l. 15. πυράλωτοι. l. ib. νύκτωρ πῦρ velit J. 16. προσάγονται δὲ καὶ. l. προσάγονται. o. Fo; πρ. δὴ τὸν. ib. προσχρηγορέναι. j, π. 17. θηράσαι. μ, γ, g. 18. μικρὰ. ψ. ib. τοι om. l. ib. κἀπομισθοῖ. vd, φ, π. 19. ἐπειδὴ. o. ib. ἀναπτῶσιν. μ. ὑποπτῶσιν. γ. ib. παρὰ τὴν π. φ. ib. ἐς om. ρ. εἰς. μ. 21. εἰ μὴ — ἀπείποι ποτέ om. γ, g. ib. αὗται. μ. αὐτοὶ. π. ib. δόλου του. 1, π, J. δόλου τι. 2, 3, E. δόλου. vd. Respicit huc anonymus apud Boiss. Anecd. II, 358. 22. τόρειον. l. ib. μελεδονὸν. μ. μελεδῶνα. vd. 23. ἔστι — Πρωτέα. v. ib. ἔστι δὲ τοῦ κήυκος. g. ἔσται δ' αὐτοῦ. vd. ib. ἀπὸ τοῦ μὲν velit J. 24. ὑπὲρ Πρωτέα. φ. 25. ἐνταῦθα καὶ. π. 26. τὸν τοιάδε ἐπ. φ. ib. τοιαύτην γ et g, ubi suprasc. τοιάνδε. ἐξ
ib. ευρήκασι. φ. ib. τὴν καλήν τε καὶ θαυμασίαν. ε, m. τε om. vd. 27. μὲν ἤδη. vd. ib. βασιλεία. ε, m. ib. οὐ γὰρ. f, j, p. οὐ γὰρ δὴ. ς. 29. ἔστω. f. ib. οὕτω τις. f, vd. ib. εὐρους. m, o. ib. θαλάσσῃ. C, J. θαλάττῃ. E. 31. ἤδη. φ. ἦτε. o. ib. πτηνῶν. vd.

82, 83. p. 839. II, 17.

προσήκει νομίζειν, εἴτε τῇ θαλάττῃ οἰκειοῦν, δικάσει ὅδε ὁ Πρωτεύς, ἥκει γὰρ δὴ θεμιστεύσων τοῦτο, τὰ δὲ πεπολισμένα τῆς νήσου σκοπῶμεν· ᾧκισται γὰρ δὴ ἐν αὐτῇ πόλεως καλῆς τε καὶ λαμπρᾶς εἴδωλον, ὅσον οἰκία, καὶ βασιλικὸν ἔσω τρέφεται παιδίον, ἄθυρμα δὲ αὐτῷ πόλις. θέατρα γάρ ἐστιν, ὁπόσα αὐτό τε δέξασθαι καὶ τοὺς συμπαίστας τουτουσί παῖδας, ἱππόδρομός τε ἐξωκοδόμηταί τις ἀποχρῶν τοῖς Μελιταίοις κυνιδίοις περιδραμεῖν αὐτόν, ἵππους γὰρ δὴ ὁ παῖς ταῦτα ποιεῖται καὶ ξυνέχει σφᾶς ἐς ζυγόν τε καὶ ἅρμα, ἡνιοχήσων δὴ ὑπὸ τουτωνὶ τῶν πιθήκων, οὓς τὸ παιδίον θεράποντας ἡγεῖται, λαγωὸς δὲ οὑτοσὶ χθές, οἶμαι, ἐσῳκισμένος ξυνέχεται μὲν ἱμάντι φοινικῷ, καθάπερ κύων, δεδέσθαι δὲ οὐκ ἀξιοῖ καὶ διολισθῆσαι τοὺς δεσμοὺς ἐθέλει πιστεύων τοῖς προσθίοις τῶν ποδῶν, ψίττακός τε καὶ κίττα ἐν οἰκίσκῳ πλεκτῷ Σειρήνων δίκην ἐν τῇ νήσῳ ᾄδουσιν, ᾄδει δὲ ἡ μὲν ὁπόσα οἶδεν, ὁ δὲ ὁπόσα μανθάνει. 840

ΚΥΚΛΩΨ.

ιη'. Οἱ θερίζοντές τε τὰ λήια καὶ τρυγῶντες τὰς ἀμπέλους οὔτε ἤροσαν, ὦ παῖ, ταῦτα, οὔτε
84 ἐφύτευσαν, ἀλλ' αὐτόματα ἡ γῆ σφίσιν ἀναπέμπει ταῦτα, εἰσὶ γὰρ δὴ κύκλωπες, οἷς, οὐκ οἶδα ἐξ ὅτου, τὴν γῆν οἱ ποιηταὶ βούλονται αὐτοφυᾶ εἶναι ὧν φέρει, πεποίηται δὲ αὐτοὺς καὶ ποιμένας τὰ πρόβατα βόσκουσα, ὧν τὸ γάλα ποτόν τε ἡγοῦνται καὶ ὄψον. οἱ δ' οὔτε ἀγορὰν γιγνώσκουσιν οὔτε βουλευτήριον, οὐδ' οἶκον, ἀλλὰ τὰ ῥήγματα ἐσοικισάμενοι τοῦ ὄρους. τοὺς μὲν ἄλλους ἔα, Πολύφημος δὲ ὁ τοῦ Ποσειδῶνος ἀγριώτατος αὐτῶν οἰκεῖ ἐνταῦθα, μίαν μὲν ὑπερτείνων ὀφρὺν τοῦ ὀφθαλμοῦ ἑνὸς ὄντος, πλατείᾳ δὲ τῇ ῥινὶ ἐπιβαίνων τοῦ χείλους καὶ σιτούμενος τοὺς ἀνθρώπους, ὥσπερ τῶν λεόντων οἱ ὠμοί. νυνὶ δὲ ἀπέχεται τοῦ τοιούτου σιτίου, ὡς μὴ βορός, μηδὲ ἀηδὴς φαίνοιτο, ἐρᾷ γὰρ τῆς Γαλατείας παιζούσης ἐς τουτὶ τὸ πέλαγος, ἀφιστορῶν αὐτὴν ἀπὸ τοῦ ὄρους, καὶ ἡ μὲν σύριγξ ἔτι ὑπὸ μάλης καὶ ἀτρεμεῖ, ἔστι δ' αὐτῷ ποιμενικὸν ᾆσμα, ὡς λευκή τε εἴη καὶ γαῦρος καὶ ἡδίων ὄμφακος καὶ ὡς νεβροὺς τῇ Γαλατείᾳ σκυμνεύει καὶ ἄρκτους. ᾄδει δὲ
ὑπὸ πρίνῳ ταῦτα, οὐδ' ὅπου αὐτῷ τὰ πρόβατα νέμεται, εἰδώς, οὐδ' ὁπόσα ἐστίν, οὐδ' ὅπου ἡ 841
γῆ. ἔτι δὲ ὄρειός τε καὶ δεινὸς γέγραπται χαίτην μὲν ἀνασείων ὀρθὴν καὶ ἀμφιλαφῆ πίτυος δίκην, καρχάρους δὲ ὑποφαίνων ὀδόντας ἐκ βοροῦ τοῦ γενείου, στέρνα τε καὶ γαστέρα καὶ τὸ ἐς ὄνυχας ἧκον λάσιος πάντα, καὶ βλέπειν μὲν ἡμερόν φησιν, ἐπειδὴ ἐρᾷ, ἄγριον δὲ ὁρᾷ καὶ ὑποκαθήμενον
ἔτι, καθάπερ τὰ θηρία τὰ ἀνάγκης ἠττώμενα. ἡ δὲ ἐν ἁπαλῇ τῇ θαλάττῃ παίζει τέτρωρον δελφίνων ξυνάγουσα ὁμοζυγούντων τε καὶ ταὐτὸν πνεόντων, παρθένοι δ' αὐτοὺς ἄγουσι Τρίτωνος αἱ

1. προσῆκε. C, EJ. Sc. προσήκει. ib. θαλάσσῃ. f. ib. οἰκοιοῦν. p 1761. ib. δικάσει δὲ. φ. δικ. δὴ. vd. δικάσει. l, om. ὅδε. ib. δὴ om. vd. 2. τοῦτο. j, p, br, φ, conj. J. τούτῳ. ς. (τούτους. l. mg.) ib. τε om. γ, g. 3. ἔσω om. ψ. ib. θέατρα — συμπαίστας. v. ib. θ. δὲ. f. 4. εἰσίν. v. ib. αὐτό τε. p 1761. αὐτόν τε. ς. (αὐτόν. γ.) ib. τούτω ἱππάδας et γρ. ους (h. e. τούτους.) παῖδας l. τούτω ἱππάδας. f, j, p, E. τούτω ἱππιάδας. br. τούτου ἱππάδας. φ, μ. τούτους ἱππάδας. vd, p 1760, 1761, γ, g, ρ, ψ. τουτονί ἱππάδος. π. τουτουσὶ παῖδας. J. 5. μελιτταίοις. φ. 6. ξυνέχει. φ, π, 2, ρ, ψ. συνέχει. ς. ib. ἐς om. 1 praeter φ. ib. ἡνιοχήσων. f, p, J. ἡνιόχησον. (sic) vd. ἡνιοχώσων. j. ib. δὲ ὑπὸ. 1, π. δὴ om. ψ. 7. λαγὼς velit Lob. ad Phryn. 187. ib. δὲ οἶμαι οὑτοσὶ χθὲς. φ, vd. ib. εἰσῳκισμ. φ, E. 8. δ' οὐκ. vd, φ, π. 9. τῶν ποδῶν om. ψ. ib. ψιττακοὶ. br. ib. καὶ κίττα om. 1. κίσσα suprasc. ττ. μ. ib. λεκτῷ. l, (mg. λεπτῷ.) γ, g et p 1761, ubi γρ. πλεκτῷ. 10. ὁ μὲν. br. ἡ μὲν et ὁ suprasc. vd.

XVIII. 11. θερίζοντές τε. f, j, ρ. θερίζοντες. ς. 13. πεπ. δὲ καὶ αὐτοὺς τοὺς ποιμένας καὶ τὰ πρόβ. o. 14. βόσκοντας. p, vd, br, et μ ante corr. ib. ποτόν τε τὸ γ. τούτων ἡγεῖται. f, j. ib. οὔτε ἀγ. φ. οὔτ' ἀγ'. EJ. 15. οὔτε οἶκον. C. οὔτ' οἶκον. EJ. Sc. οὐδ' οἶκον. ib. ἀλλὰ ῥήγματα. μ, p 1761. J. velit οὔτ' οἶκον ἄλλον. ib. ἐσωκισάμενοι. π. 16. αὐτῶν om. μ. ib. ἀγριώτητος. ψ. 20. σύριξ. π. ib. αὐτὸν. br. ib. ὡς λευκὴ — γαῦρος om. p. 1760 et 1761 pr. m. 21. γαῦρος διεγηγερμένη. μ. ib. νεκροὺς. μ. ib. σκυμνεύειν. π. Fo: σκυμνεύοι. ib. ἄρκτια. π. 22. ὅσα. vd. ib. ὅπου· ἡ γῆ δὲ καὶ οὗτος ὄρειος. ψ. ὅπου τῆς γῆς αὐτὸς conj. J. 23. ὅτι δὲ. f, j. ἔτι δὲ conj. J. ὅτι. ς. 24. καρχαρόδους. f, j. ib. στέρνα — πάντα. v. ib. στέρνα. v. στέρνον. ς. ib. ὄνυχας. v. ὄνυκα. ς. 25. λάσιον. φ. ib. βλέπει. μ, p 1761, ε, m. ib. φησὶν ἥμερον. γ, g. ib. ἄγριον — ἠττώμενα. v. ib. ἀχρεῖον velit J. ὑποκαθειμένον. m, o. 26. καθάπτοις. v. ib. τῶν θηρίων. EJ. ib. τὰ ὑπ' ἀνάγκης. (sic) vd. 27. ξυμβάλλουσα. l in mg. ib. τε om. f. ib. ταὐτό. p 1761, π.

84. p. 840, 841. II, 18.

δμωαὶ τῆς Γαλατείας ἐπιστομίζουσαι σφᾶς, εἰ ἀγέρωχόν τι καὶ παρὰ τὴν ἡνίαν πράττοιεν. ἡ δ' ὑπὲρ κεφαλῆς ἁλιπόρφυρον μὲν λήδιον ἐς τὸν ξέφυρον αἴρει σκιὰν ἑαυτῇ εἶναι καὶ ἱστίον τῷ ἅρματι, ἀφ' οὗ καὶ αὐγή τις ἐπὶ τὸ μέτωπον καὶ τὴν κεφαλὴν ἥκει οὕπω ἡδίων τοῦ τῆς παρειᾶς ἄνθους, αἱ κόμαι δ' αὐτῆς οὐκ ἀνεῖνται τῷ ζεφύρῳ, διάβροχοι γὰρ δή εἰσι καὶ κρείττους τοῦ ἀνέμου. καὶ μὴν καὶ ἀγκὼν δεξιὸς ἔκκειται λευκὸν διακλίνων πῆχυν καὶ ἀναπαύων τοὺς δακτύλους πρὸς ἁπαλῷ τῷ ὤμῳ καὶ ὠλέναι ὑποκυμαίνουσι καὶ μαζὸς ὑπανίσταται καὶ οὐδὲ τὴν ἐπιγουνίδα ἐκλείπει ἡ ὥρα. ὁ ταρσὸς δὲ καὶ ἡ συναπολήγουσα αὐτῷ χάρις ἔφαλος, ὦ παῖ, γέγραπται καὶ ἐπιψαύει τῆς θαλάττης οἷον κυβερνῶν τὸ ἅρμα. θαῦμα οἱ ὀφθαλμοί, βλέπουσι γὰρ ὑπερόριόν τι καὶ συναπιὸν τῷ μήκει τοῦ πελάγους. 85

ΦΟΡΒΑΣ.

842 ιθ'. Ὁ μὲν ποταμός, ὦ παῖ, Κηφισὸς Βοιώτιός τε καὶ οὐ τῶν ἀμούσων, σκηνοῦσι δ' ἐπ' αὐτῷ Φλεγύαι βάρβαροι πόλις οὔπω ὄντες. οἱ δὲ πυκτεύοντες τόν τε Ἀπόλλω, οἶμαι, ὁρᾷς, ὁ δ' αὖ Φόρβας ἐστίν, ὃν ἐστήσαντο οἱ Φλεγύαι βασιλέα, ἐπειδὴ μέγας παρὰ πάντας οὗτος καὶ ὠμότατος τοῦ ἔθνους. πυκτεύει δὲ Ἀπόλλων πρὸς αὐτὸν ὑπὲρ τῶν παρόδων, τὴν γὰρ εὐθὺ Φωκέων τε καὶ Δελφῶν κατασχὼν ὁδὸν οὔτε θύει Πυθοῖ οὐδεὶς ἔτι οὔτε παιᾶνας ἀπάγει τῷ θεῷ χρησμοί τε καὶ λόγια καὶ ὀμφαὶ τρίποδος ἐκλέλειπται πάντα. ληστεύει δὲ τῶν ἄλλων Φλεγυῶν ἀποτάξας ἑαυτόν, τὴν γὰρ δρῦν, ὦ παῖ, ταύτην οἶκον πεποίηται καὶ παρ' αὐτὸν φοιτῶσιν οἱ Φλεγύαι δικασόμενοι δήπου ἐν τοῖς βασιλείοις τούτοις. τοὺς δὲ βαδίζοντας ἐς τὸ ἱερὸν λαμβάνων γέροντας 86 μὲν καὶ παῖδας ἐς τὸ κοινὸν τῶν Φλεγυῶν πέμπει ληίζεσθαί τε καὶ ἀποινᾶν, τοῖς δὲ ἐρρωμενεστέροις ἀνταποδύεται καὶ τοὺς μὲν καταπαλαίει, τοὺς δὲ ὑπερτρέχει, τοὺς δὲ παγκρατίῳ αἱρεῖ καὶ ὑπερβολαῖς δίσκων κεφαλάς τε ἀποκόπτων ἀνάπτει τῆς δρυὸς καὶ ὑπὸ τούτῳ ζῇ τῷ λύθρῳ, αἱ δ' ἀπήρτηνται τῶν πτόρθων μυδῶσαι καὶ τὰς μὲν αὖους ὁρᾷς, τὰς δὲ προσφάτους, αἱ δὲ ἐς κρανία περιήκουσι, σεσήρασι δὲ καὶ ὀλολύξειν ἐοίκασιν ἐσπνέοντος αὐτὰς τοῦ ἀνέμου. φρονοῦντι δὲ αὐτῷ ταῖς Ὀλυμπιάσι ταύταις ἧκει ὁ Ἀπόλλων εἰκάσας ἑαυτὸν μειρακίῳ πύκτῃ, καὶ τὸ μὲν τοῦ θεοῦ εἶδος, ἀκειρεκόμης, ὦ παῖ, γέγραπται καὶ τὰς χαίτας ἀνειληφώς, ἵνα εὐζώνῳ τῇ κεφαλῇ πυκτεύῃ, ἀκτῖνες δὲ ἀπανίστανται ἀπὸ τοῦ μετώπου καὶ μειδίαμα θυμῷ ξυγκεκραμένον ἡ παρειὰ πέμπει βολαί τε ὀφθαλμῶν εὔσκοποι καὶ ξυνεξαίρουσαι ταῖς χερσίν· αἱ δὲ ἐνήψαντο τοὺς ἱμάντας ἡδίους, 843 εἰ στέφανοι περὶ αὐταῖς ἦσαν. πεπύκτευται δὲ αὐτὸν ἤδη, τὸ γὰρ ἐμβεβληκὸς τῆς δεξιᾶς ἐνεργὸν ἔτι δηλοῖ τὴν χεῖρα καὶ οὔπω καταλύουσαν τὸ σχῆμα, ᾧ ἤρηκεν, ὁ Φλεγύας δὲ κεῖται ἤδη καὶ ὁπόσον

1. ἀγέρωχόν τι. p, br, vd. Isid. Pel. p. 570 et 665, J. τι ἀγέρωχον. ς. (τι ἀχέρωχόν τε. j.) 2. λήδιον. φ, j et vd. ex corr. pr. m. ληίδιον. μ. 3. ἥδιον. C, EJ. Sc. ἡδίων. ib. εἰς τὸν. μ. 4. ἡ εἰσὶ. EJ. 5. δεξιὰς. j. ib. ἔκκειται. p, φ, π, γ, g, o (conj.), J. ἔγκειται. ς. (f, j.) 7. ὁ ταρσὸς – γέγραπται. v. ib. ἔφαλος. v. ἐφ' ἁλὸς. ς. 8. Θαῦμα – πελάγους. v. 9. συναπιὼν. φ (sic).

XIX. Φόρβας. C. Φόρβας ἢ Φλεγύαι. EJ. 10. Κηφισός. l, p, vd, φ, π, ψ, γ, g et f ante corr. rec. Κηφισσὸς ς. ib. δὲ. vd, φ. om. ψ. 11. Φλεγύαι – Φόρβας ἐστίν. v. ib. Φλεγυῖαι. v, f, ut infra. ib. πόλις. v, φ, μ, ψ, γ, g. εἰ πόλις. vd. pr. m. πόλεις. ς. ib. οὐ δὲ. μ, π, ψ. ib. Ἀπόλλω, οἶμαι. v. οἶμαι Ἀπόλλωνα. ς. 12. ἐστί, ὃν. φ. ib. παρὰ πάντας om. br. vd. 14. κατασχὼν ὁδὸν. vd, φ, π, ψ, γ, g. κατασχόντος ὁδὸν. 2. ὁδὸν κατασχὼν. f, EJ. ib. παιῶνας. vd. 15. λογεῖα. vd. 16. ταῦτα γρ. m. ib. Φλεγυίων. f ut infra. Φλεγύων. EJ. ib. δικασόμενος. j. 17. εἰς τὸ ἱ. vd. 18. εἰς τὸ κ. f, φ, vd. ib. ποινᾶν. br. 19. ἐπαποδύεται. vd. ib. ὑπεκτρέφει. f. ὑπεκτρέχει. j, p, φ, vd. 20. ὑπερβολῇ. br, vd. 21. αὖας. vd, μ, p 1760. ib. ἐς κρ. π. 23. αὐτὸν. vd. ib. μειρακείῳ. ρ. ib. καὶ τὸ μὲν – πυκτεύῃ om 1 (praeter l), 2, π, ψ. 24. ἀκερσεκόμης. l. 25. ἀπὸ τοῦ μ. p, vd, br, φ. περὶ τοῦ μ. j, π et f, ubi παρὰ corr. m. rec. παρὰ τοῦ μ. ς. ib. συγκεκραμένον. μ. 26. συνεξαίρουσαι. vd. ib. ἐνήψαιντο. γ. ἐνίψαντο. vd, π. 27. οἱ στέφανοι. C, E. εἰ στέφ. conj. J. ib. παρ' αὐταῖς. l, mg et 2, (ubi παρὰ αὐτ.) ἐν ἑαυταῖς. vd. ib. Fo: καταπεπύκτευκε. 28. ἤδη delendum videtur. ib. καὶ – τραῦμα. v.

85, 86. p. 842, 843. 11, 19.

μὲν ἐπέχει τῆς γῆς, ποιητὴς ἐρεῖ, κεχώρηκε δὲ ἐς κρόταφον αὐτῷ τὸ τραῦμα καὶ τὸ αἷμα ὥσπερ ἐκ πηγῆς ἐκδίδοται. γέγραπται δὲ ὠμὸς καὶ συώδης τὸ εἶδος, οἷος σιτεῖσθαι μᾶλλον τοὺς ξένους ἢ κτείνειν. τὸ δὲ ἐξ οὐρανοῦ πῦρ σκηπτὸς ἐπὶ τὴν δρῦν φέρεται συμφλέξων τὸ δένδρον, οὐ μὴν ἐξαιρήσων γε τὴν ἐπ' αὐτῷ μνήμην, τὸ γὰρ χωρίον, ἐν ᾧ ταῦτα, Δρυός, ὦ παῖ, κεφαλαὶ ἔτι.

ΑΤΛΑΣ.

87 κ'. Καὶ Ἄτλαντι ὁ Ἡρακλῆς οὐδὲ προστάξαντος Εὐρυσθέως ἤρισεν, ὡς τὸν οὐρανὸν οἷσων μᾶλλον ἢ ὁ Ἄτλας, τὸν μὲν γὰρ συγκεκυφότα ἑώρα καὶ πεπιεσμένυν καὶ κείμενον ἐς γόνυ θάτερον καὶ μικρὰ καταλειπόμενα αὐτῷ τοῦ ἑστάναι, αὐτὸς δ' ἂν καὶ μετεωρίσαι τὸν οὐρανὸν καὶ στῆσαι ἀναθέμενος ἐς μακρὸν τοῦ χρόνου. τὸ μὲν δὴ φιλότιμον τοῦτο οὐδαμοῦ ἐκφαίνει, φησὶ δὲ συναλγεῖν τε τῷ Ἄτλαντι ἐφ' οἷς μοχθεῖ καὶ μετασχεῖν ἂν τοῦ ἄχθους αὐτῷ. ὁ δ' οὕτω τι ἄσμενος εἴληπται τοῦ Ἡρακλέους, ὡς ἱκετεύειν αὐτὸν τλῆναι ταῦτα. γέγραπται δὲ ὁ μὲν ἀπειρηκώς, ὡς τῷ ἱδρῶτι συμβαλέσθαι, ὁπόσος ἀπ' αὐτοῦ στάζει, βραχίονός τε ξυνεῖναι τρέμοντος, ὁ δὲ ἐρᾷ τοῦ ἄθλου. δηλοῖ δὲ τοῦτο ἥ τε ὁρμὴ τοῦ προσώπου καὶ τὸ ῥόπαλον καταβεβλημένον καὶ αἱ χεῖρες ἀπαιτοῦσαι τὸν ἆθλον. σκιὰς δὲ τὰς μὲν τοῦ Ἡρακλέους οὔπω θαυμάζειν ἄξιον, εἰ ἔρρωνται τὸν ἆθλον — τὰ γὰρ τῶν κειμένων σχήματα καὶ οἱ ὀρθοὶ μάλα εὔσκιοι, τὸ δὲ ἀκριβοῦν ταῦτα οὔπω σοφόν — αἱ δὲ τοῦ Ἄτλαντος σκιαὶ σοφίας πρόσω, οὕτωσὶ γὰρ συνιζηκότος συμπίπτουσί τε ἀλλήλαις καὶ οὐδὲν τῶν ἐκκειμένων ἐπιθολοῦσιν, ἀλλὰ φῶς ἐργάζονται περὶ τὰ κοῖλά τε καὶ ἐσέ- 844
χοντα. τὴν δὲ γαστέρα καὶ προνενευκότος τοῦ Ἄτλαντος ὁρᾶν τε ὑπάρχει καὶ ἀσθμαινούσης ξυνιέναι, τά τε ἐν τῷ οὐρανῷ, ὃν φέρει, γέγραπται μὲν ἐν αἰθέρι, ὁποῖος περὶ αὐτὰ ἕστηκεν, ἔστι δὲ ξυνεῖναι ταύρου τε, ὃς δὴ ἐν οὐρανῷ ταῦρος, ἄρκτων τε, ὁποῖαι ἐκεῖ ὁρῶνται, καὶ πνευμάτων.
88 γέγραπται γὰρ τὰ μὲν ξὺν ἀλλήλοις, τὰ δὲ ἐξ ἀλλήλων, καὶ τοῖς μὲν φιλία πρὸς ἄλληλα, τὰ δὲ σώζειν ἔοικε τὸ ἐν τῷ οὐρανῷ νεῖκος. νῦν μὲν οὖν ἀναθήσεις ταῦτα, Ἡράκλεις, μετ' οὐ πολὺ δὲ ξυμβιώσεις αὐτοῖς ἐν τῷ οὐρανῷ πίνων καὶ περιβάλλων τὸ τῆς Ἥβης εἶδος· ἄξῃ γὰρ τὴν νεωτάτην καὶ πρεσβυτάτην τῶν Θεῶν, δι' αὐτὴν γὰρ κἀκεῖνοι νέοι.

ΑΝΤΑΙΟΣ.

κα'. Κόνις οἷα ἐν πάλαις ἐκείνη ἐπὶ πηγῇ ἐλαίου καὶ δυοῖν ἀθληταῖν ὁ μὲν ξυνδέων τὸ οὖς, ὁ δὲ ἀπολύων λεοντῆς τὸν ὦμον κολωνοί τε ἐπιτήδειοι καὶ στῆλαι καὶ κοῖλα γράμματα Λιβύη 845

1. εἰς τὸν κρ. vd. 2. καὶ ὠμὸς. l. 3. τὸ δὲ — φέρεται om. br. ib. δρῦν om. γ. τὴν γῆν. vd. 4. αὐτοῦ. μ, p 1761. ib. κεφάλαιον. f, j et l, ubi corr. mg.

xx. 5. Ἄτλαντα. f, ρ. ib. οἶσειν. l. 6. ἢ Ἄτλ. γ. ib. κείμενον — ἑστάναι. v. ib. πίπτοντα ἐς γόνυ. p, br, vd. ib. ἕτερον. C, EJ. θάτερον. Lob. ad Phryn. 474. 7. στῆσαι malit J. ib. μετεωρῆσαι. vd. 8. μικρὸν. f, j, p. 9. τε om. p. τῷ om. f, φ. ib. μετασχὼν. f. συμμετασχεῖν. vd. συμματασχεῖν. br. ib. οὕτω τοι. p, br, γ, g. 10. τλῆσαι. φ, vd. 11. συμ-
ι
βάλλεσθαι ὁπ. ἂν ἀπ' αὐτοῦ. 2, EJ. ib. στάζει. 1, p 1761, γ, g, J. στάζειν. j. στάζοι. μ, E. ib. τρέμοντος. (sic) vd. 12. δῆλον. π. 13. ἀπετοῦσαι. br. ib. τὸ ἆθλον. vd. ib. σκιὰς — ἄξιον. v. ib. τοῦ om. π. ib. εἰ ἐρρῶνται τοῦ ἄθλου. f, j et ψ, ubi γρ. τῷ ἄθλῳ. εἰ ἐρῶνται τοῦ ἄθλου et mg. εἰ ἔρρωνται τὸ ἆθλον. vd, φ, br. εἰ ἐρῶνται τοῦ ἄθλου. π. εἰ ἐρῶνται τὸν ἆθλον. p. εἰ ἔρρωται τὸν ἆθλον. μ, p 1760, 1761. εἰ ἔρρωνται τὸν ἆθλον. EJ. 14. τὸν ἆθλον deleverim. ib. τὸ δὲ ἀκριβοῦν — πρόσω. v. ib. τὸ δὲ. v. καὶ τὸ. ς. 15. γὰρ τοῦ. f, j. Fo: γὰρ αὐτοῦ. 16. περὶ τὰ. 1, π, ψ, J. παρὰ τὰ. ς ib. τε om. μ. 17. τὴν γαστέρα δὲ. J conj. τὴν γαστέρα. ς ib. ὁρᾶν τέ ἐστι. vd.
οντος
ib. ἀσθμαινούσης. 1, J. ἀσθμαίνοντος et γρ. ἀσθμαινούσης. p 1761. ἀσθμαινούσῃ. vd. sic corr. sec. m. ἀσθμαίνοντος. ς. 18. αὐτὰς. C, ε, m, J. αὐτὰ. o. ib. ἔστι δὲ — ἄρκτων. v. 19. ταῦρον. π. ib. καὶ ἄρκτων. v. 20. τὰ μὲν γὰρ γέγρ. p, br. τὰ μὲν γέγρ. f, j. 21. καὶ ἐν τῷ οὐρ. νεῖκος velit J. 21. μὲν om. μ. ib. Ἡρακλῆς. γ. Ἡρακλεῖ. p, br, φ, vd. Ἡρακλῆ. j. 22. παρεκβαλλων. π. ib. ἄξεις. φ. ἄξει. vd. ib. καὶ νεωτάτην. π.

xxi. 24. ἐν παλάμαις. vd, φ et p. γρ. ib. ἐκείναις. C, EJ. ἐχίνος ἐν τῇ γῇ. J conj. Sc: ἐκείνη. ib. ἐπὶ τῇ γῇ. γ. ib. καὶ δι' ἣν ἀθλ. γ. ib. ἀθλητῶν. vd, φ. 25. καὶ Λιβύη. f, j, ρ.

87, 88. p. 844, 845. 11, 20, 21.

ταῦτα καὶ Ἀνταῖος, ὃν γῇ ἀνῆκε σίνεσθαι τοὺς ξένους, λῃστρικῇ, οἶμαι, πάλῃ. ἀθλοῦντι δὲ αὐτῷ ταῦτα καὶ θάπτοντι οὓς ἀπώλλυε περὶ αὐτήν, ὡς ὁρᾷς, τὴν παλαίστραν, ἄγει τὸν Ἡρακλέα ἡ γραφὴ χρυσᾶ ταυτὶ τὰ μῆλα ἤρηκότα ἤδη καὶ τὰ τῶν Ἑσπερίδων ᾀδόμενον — οὐκ ἐκείνας ἐλεῖν θαῦμα τοῦ Ἡρακλέους, ἀλλ' ὁ δράκων — καὶ οὐδὲ γόνυ, φασί, κάμψας, ἀποδύεται πρὸς τὸν Ἀνταῖον ἐν τῷ τῆς ὁδοιπορίας ἄσθματι, τείνων τοὺς ὀφθαλμοὺς ἐς νοῦν τινα καὶ οἷον διάσκεψιν τῆς πάλης. ἐμβέβληκέ τε ἡνίαν τῷ θυμῷ μὴ ἐκφέρειν αὐτὸν τοῦ λογισμοῦ. ὑπερφρονῶν δὲ ὁ Ἀνταῖος ἐπῆρται, δυστήνων δέ τε παῖδες ἢ τοιοῦτόν τι πρὸς τὸν Ἡρακλέα ἐοικὼς λέγειν καὶ ῥωννὺς αὐτὸν τῇ ὕβρει. εἰ δὲ καὶ πάλης τῷ Ἡρακλεῖ ἔμελεν, οὐκ ἄλλως ἐπεφύκει ἢ ὡς γέγραπται, γέγραπται δὲ ἰσχυρὸς οἷος καὶ τέχνης ἔμπλεως δι' εὐαρμοστίαν τοῦ σώματος. εἴη δ' ἂν καὶ πελώριος καὶ τὸ εἶδος ἐν ὑπερβολῇ ἀνθρώπου. ἔστιν αὐτῷ καὶ ἄνθος αἵματος καὶ αἱ φλέβες οἷον ἐν ὠδῖνι θυμοῦ 89
